Zu meiner Freude habe ich aus Deinem Briefe ersehen, daſs Du treu geblieben bist der von Haus aus Dir eigenen Neigung zu wissenschaftlicher Beschäftigung. Verraten mir doch sowohl die von Dir gestellten Fragen, welche das Gebiet der Naturwissenschaften berühren, als auch diejenigen, welche die von Aratos in den „Gleichzeitigen Aufgängen“[1]) gemachten Angaben betreffen, ein ungemein lebhaftes Interesse für den Gegenstand, was um so mehr anzuerkennen ist, als Du ja nur zu sehr heimgesucht worden bist von den Trübsalen des Lebens infolge des vorzeitigen Todes Deiner hochgeschätzten Brüder. Was nun Dein Anliegen anbetrifft, so werde ich Dir über die anderen Fragen später mein eigenes Urteil ausführlich mitteilen; jetzt habe ich mir die Aufgabe gestellt, Dir über die von Aratos in seinen „Himmelserscheinungen“ gemachten Angaben eine Schrift zu widmen, welche dieselben im groſsen Ganzen auf ihre Richtigkeit hin einer eingehenden Prüfung unterziehen soll. Hierin wirst Du gleichzeitig über alle Deinerseits angeregten Zweifel Aufklärung finden.

1) S. die erklärenden Anmerkungen am Schlusse des Kommentars.

3 Ἐξήγησιν μὲν οὖν τῶν Ἀράτου Φαινομένων καὶ ἄλλοι πλείονες συντετάχασιν· ἐπιμελέστατα δὲ δοκεῖ πάντων Ἄτταλος ὁ καθ' ἡμᾶς μαθηματικὸς τὸν περὶ 4 αὐτῶν πεποιῆσθαι λόγον. ἀλλὰ τὸ μὲν ἐξηγήσασθαι τὴν ἐν τοῖς ποιήμασι διάνοιαν οὐ μεγάλης ἐπιστροφῆς προσδεῖσθαι νομίζω· ἁπλοῦς τε γὰρ καὶ σύντομός ἐστι ποιητής, ἔτι δὲ σαφὴς τοῖς καὶ μετρίως παρηκολουθηκόσι· τὸ δὲ συνεῖναι τὰ λεγόμενα περὶ τῶν οὐρανίων ὑπ' αὐτοῦ, τίνα τε συμφώνως τοῖς φαινομένοις ἀναγέγραπται καὶ τίνα διημαρτημένως, τοῦτ' ὠφελιμώτατον ἡγήσαιτ' ἄν τις καὶ μαθηματικῆς ἴδιον ἐμπειρίας.

5 Θεωρῶν δ' οὖν ⟨ἐν⟩ τοῖς πλείστοις καὶ χρησιμωτάτοις διαφωνοῦντα τὸν Ἄρατον πρὸς τὰ φαινόμενά τε καὶ γινόμενα κατὰ ἀλήθειαν, τούτοις δ' ἅπασι σχεδὸν οὐ μόνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν Ἄτταλον συνεπιγραφόμενον, ἔκρινα τῆς σῆς ἕνεκα φιλομαθίας καὶ τῆς κοινῆς τῶν ἄλλων ὠφελείας ἀναγράψαι τὰ 6 δοκοῦντά μοι διημαρτῆσθαι. τοῦτο δὲ ποιῆσαι προεθέμην οὐκ ἐκ τοῦ τοὺς ἄλλους ἐλέγχειν φαντασίαν ἀπενέγκασθαι προαιρούμενος· (κενὸν γὰρ καὶ μικρόψυχον παντελῶς· τοὐναντίον δὲ δεῖν οἴομαι πᾶσιν ἡμᾶς εὐχαριστεῖν, ὅσοι τῆς κοινῆς ἕνεκεν ὠφελείας ἰδίᾳ πονεῖν ἀναδεχόμενοι τυγχάνουσιν·) ἀλλ' ἕνεκα τοῦ μήτε σὲ μήτε τοὺς λοιποὺς τῶν φιλομαθούντων ἀποπλανᾶσθαι τῆς περὶ τὰ φαινόμενα κατὰ τὸν κόσμον θεωρίας. 7 ὅπερ εὐλόγως πολλοὶ πεπόνθασιν· ἡ γὰρ τῶν ποιημάτων

---

1. Ἐξήγησιν corr. *Pet.*, vulg. ζήτησιν. ‖ 2. πλέονες AP[3] edd. ‖ 3. Ἄτταλος corr. *Pet.*, vulg. αὐτός. | περὶ αὐτοῦ A, περὶ αὐτὸν V. ‖ 6. δεῖσθαι B. ‖ 14. τε om. B edd. | δὲ ἅπασι edd. 15. ἄτταλλον Vat. hic et sic saepius. ‖ 16. συνεπιγραφόμενον om. B ed. pr. ‖ 17. τῶν ἄλλων om. B edd. ‖ 22. ἰδίᾳ corr. *Pet.*,

Einen Kommentar zu des Aratos „Himmelserscheinungen" haben schon manche andere verfaſst; am sorgfältigsten von allen aber hat nach meinem Urteile unser Zeitgenosse, der Mathematiker Attalos, diese Aufgabe gelöst. Zur bloſsen Erklärung freilich des Inhalts des Gedichtes bedarf es meines Erachtens keines groſsen Aufwandes von Scharfsinn; denn schlicht und knapp ist die Darstellungsweise des Dichters, aber doch noch verständlich auch für Leser, welche mit nur geringer Sachkenntnis an ihn herantreten. Allein auf die von ihm behandelten Fragen der Himmelskunde einzugehen mit Verständnis dafür, was einerseits in Übereinstimmung mit den Erscheinungen, andrerseits falsch dargestellt ist, das dürfte mancher als ein sehr nützliches Unternehmen begrüſsen, zu dessen Durchführung allerdings strengwissenschaftliche Kenntnisse gehören. 3 4

Da ich in den meisten und wichtigsten Punkten den Aratos mit den Erscheinungen und den in Wirklichkeit stattfindenden Verhältnissen in Widerspruch finde, aber fast alle seine Angaben nicht nur die anderen Erklärer, sondern auch den Attalos ohne weiteres anerkennen sehe, so habe ich beschlossen, zur Befriedigung Deiner Wiſsbegierde und zum allgemeinen Nutzen der anderen alles, was ich für unrichtig dargestellt halte, in einer besonderen Abhandlung zu besprechen. Dies zu thun habe ich mir nicht vorgenommen, um durch Widerlegung der anderen besonderes Aufsehen zu erregen; denn das ist ein eitles Beginnen und durchaus Zeichen eines kleinen Geistes; im Gegenteil, ich meine, daſs wir allen dankbar sein müssen, welche sich zum allgemeinen Besten für ihre Person mühevoller Arbeit unterziehen. Meine Absicht ist vielmehr die, zu verhüten, daſs Du und andere Wiſsbegierige sich Vorstellungen aneignen, welche mit der wissenschaftlichen Auffassung der Erscheinungen im Weltall unvereinbar sind. Daſs dies vielen so ergangen ist, hat seinen guten Grund; 5 6 7

ἴδια Vat. edd., ἰδίαι L, ἰδία P¹P²P³MV. ‖ 24. φιλομαϑῶν B edd. ‖ 26. γὰϱ] μὲν B.

χάρις ἀξιοπιστίαν τινὰ τοῖς λεγομένοις περιτίθησι, καὶ πάντες σχεδὸν οἱ τὸν ποιητὴν τοῦτον ἐξηγούμενοι προστίθενται τοῖς ὑπ' αὐτοῦ λεγομένοις.

8 Ἐμπειρότερον δὲ Εὔδοξος τὴν αὐτὴν τῷ Ἀράτῳ περὶ τῶν φαινομένων σύνταξιν ἀναγέγραφεν. εὐλόγως 5 οὖν καὶ ἐκ τῆς τῶν τοσούτων καὶ τηλικούτων μαθηματικῶν συμφωνίας ἀξιόπιστος ἡ ποίησις αὐτοῦ διαλαμβάνεται. καίτοι γε τοῦ Ἀράτου μὲν ἴσως οὐκ ἄξιον ἐφάπτεσθαι, κἂν ἔν τισι διαπίπτων τυγχάνῃ· τῇ γὰρ Εὐδόξου συντάξει κατακολουθήσας τὰ Φαινόμενα γέ- 10 γραφεν, ἀλλ' οὐ κατ' ἰδίαν παρατηρήσας ἢ μαθηματικὴν κρίσιν ἐπαγγελλόμενος ἐν τοῖς οὐρανίοις προφέρεσθαι καὶ διαμαρτάνων [τῶν] ἐν αὐτοῖς.

9 Χωρὶς δὲ τῶν ἠγνοημένων ἐν τοῖς Φαινομένοις ὑπό τε Εὐδόξου καὶ τοῦ Ἀράτου καὶ τῶν συνεπιγρα- 15 φομένων ταῖς φάσεσιν αὐτῶν, ἀναγέγραφά σοι καὶ τὰς κατὰ ἀλήθειαν γινομένας ἑκάστου τῶν ἀπλανῶν ἄστρων σὺν αὐτοῖς τοῖς κατηστερισμένοις δώδεκα ζῳδίοις συνανατολὰς καὶ συγκαταδύσεις, ἵνα παρακολουθῶν ἑκάστοις ἀκριβῶς καὶ τὰς τῶν ἄλλων ἁπάντων ἀποφάσεις ἐν 20 10 τούτοις δοκιμάζῃς. καὶ διασαφῶ μὲν οὐ μόνον τὴν συνανατολὴν ἢ συγκατάδυσιν, ἔτι δὲ καὶ τίνες ἀστέρες ἑκάστου τῶν ἄστρων πρῶτοί τε καὶ ἔσχατοι ἀνατέλλουσιν ἢ δύνουσι, καὶ τίνες τῶν ἄλλων ἀστέρων μεσουρα-

---

1. περιτίθησιν B edd., et sic fere semper ν ἐφελκ. etiam ante cons. praebent; conf. Praef. cap. II. ‖ 6. καὶ ante ἐκ om. B. ‖ 9. κἂν ex καὶ factum L, καὶ ἐὰν A edd. ‖ 11. κατἰδίαν L, κατιδίαν Vat. P[1]M edd. | ἢ corr. *Scal.* et *Pet.*; ἠ LM, ἡ V edd. ‖ 12. ἐπαγγελλομένων B edd. ‖ 13. προφέρ. corr. *Scal.*, προσφέρ. vulg. | προσφ. καὶ διαμαρτανόντων ἐν αὐτοῖς B, πρυσφέρ. μὲν διαμαρτόντων ἐν αὐτοῖς ed. pr., προσφ. καὶ διαμαρτανόντων τῶν ἐν αὐτοῖς Ur.; *Scal.* scribi voluit: ἢ μαθ. κρίσιν τῶνδε ἐπαγγελλομένων μὲν ἐν τοῖς οὐρ. προφέρεσθαι, διαμαρτανόντων

denn das anmutige poetische Gewand verleiht dem Inhalte eine gewisse Glaubwürdigkeit, wie denn fast alle Erklärer dieses Dichters zäh festhalten an den von ihm gemachten Angaben.

Mit gröſserer Sachkenntnis hat Eudoxos denselben Stoff 8
wie Aratos in einer zusammenfassenden Darstellung der Himmelserscheinungen behandelt. Natürlich wird nun gerade infolge der Übereinstimmung mit so berühmten und bedeutenden Mathematikern seine Dichtung allenthalben mit vollem Vertrauen aufgenommen. Freilich verdient Aratos vielleicht keinen Tadel, selbst wenn er in manchen Fällen falsche Angaben macht; hat er doch seine „Himmelserscheinungen“ im engen Anschluſs an die Darstellung des Eudoxos geschrieben, durchaus nicht nach selbständigen Beobachtungen oder gar unter prunkender Ankündigung, der Himmelskunde eine streng wissenschaftliche Behandlung angedeihen zu lassen, die sich schlieſslich als fehlerhaft erweist.

Auſser der Darlegung der Fehler, welche in den 9
„Himmelserscheinungen“ von Eudoxos und Aratos, sowie von deren Erklärern durch Anerkennung ihrer Angaben gemacht worden sind, habe ich Dir auch von allen Sternbildern, einschlieſslich der zwölf Sternbilder des Tierkreises selbst, die gleichzeitigen Auf- und Untergänge mitgeteilt, wie sie in Wirklichkeit stattfinden, auf daſs Du bei sorgfältigem Eingehen auf alle Einzelheiten auch die Angaben aller anderen Erklärer in dieser Beziehung selbständig prüfen könnest. Und nicht nur den gleichzeitigen Auf- 10
und Untergang gebe ich genau an, sondern ferner auch noch:

erstens, welche Sterne eines jeden Sternbildes zuerst und zuletzt aufgehen bez. untergehen;

zweitens, welche anderen Sterne hierbei im Meridian stehen;

δὲ ἐν αὐτοῖς. ‖ 15. *τοῦ ἐπιγραφομένου* B, *τοῦ συνεπιγρ.* edd. 17. *κατ᾽ ἀλήθ.* P[3] edd. ‖ 18. *κατηστηρισμένοις* A ed. pr. | *ιβ′ ζωδίοις* B (L *ζωιδ.*) edd. hic et sic semper. ‖ 22. *καί τινες* A hic et infra.

νοῦσιν, ἕκαστόν τε τῶν ἀπλανῶν ἄστρων σὺν αὐτοῖς τοῖς δώδεκα ζῳδίοις ἐν πόσαις ἰσημεριναῖς ὥραις
11 *ἀνατέλλει ἢ δύνει. ἐπὶ πᾶσι δὲ διασαφῶ καὶ τίνες ἀστέρες ἀφορίζουσι πάντα τὰ εἰκοσιτέσσαρα ὡριαῖα διαστήματα. διότι γὰρ ἕκαστον τούτων συντείνει πρὸς* 5 *πολλὰ καὶ χρήσιμα τῶν ἐν τοῖς μαθήμασι θεωρημάτων, εὐκατανόητον εἶναι καὶ σοὶ νομίζω.*

Pars prior.

Cap. II.

1 *Ὅτι μὲν οὖν τῇ Εὐδόξου περὶ τῶν φαινομένων* 10 *ἀναγραφῇ κατηκολούθηκεν ὁ Ἄρατος, μάθοι μὲν ἄν τις διὰ πλειόνων παρατιθεὶς τοῖς ποιήμασιν αὐτοῦ περὶ ἑκάστου τῶν λεγομένων τὰς παρὰ τῷ Εὐδόξῳ λέξεις. οὐκ ἄχρηστον δὲ καὶ νῦν δι' ὀλίγων ὑπομνῆσαι*
2 *διὰ τὸ διστάζεσθαι τοῦτο παρὰ τοῖς πολλοῖς. ἀνα-* 15 *φέρεται δὲ εἰς τὸν Εὔδοξον δύο βιβλία περὶ τῶν φαινομένων, σύμφωνα κατὰ πάντα σχεδὸν ἀλλήλοις πλὴν ὀλίγων σφόδρα. τὸ μὲν οὖν ἓν αὐτῶν ἐπιγράφεται „Ἔνοπτρον“, τὸ δὲ ἕτερον „Φαινόμενα“. πρὸς τὰ Φαινόμενα δὲ τὴν ποίησιν συντέταχεν.* 20

3 *Ἐν δὴ τούτῳ τῷ συντάγματι Εὔδοξος περὶ μὲν τοῦ Δράκοντος οὕτως γράφει· „μεταξὺ δὲ τῶν Ἄρκτων „ἐστὶν ἡ τοῦ Ὄφεως οὐρά, τὸν ἄκρον ἀστέρα ὑπὲρ τῆς*

---

1. *ἑκάστων* (superscr. *ους*) *τὰς τῶν* A. ‖ 4. *πάντα* om. B. | *ὡριμαῖα* A. ‖ 5. *γὰρ* sub linea add. L, ad marg. M, om. V. ‖ 7. *νομίζων* V, *ν* finali expuncto LM. ‖ 13. *τὰς παρὰ τῷ Εὐδ.**] *τὰς περὶ τοῦ Εὐδ.* AB, *τὰς τοῦ Εὐδ.* edd. ‖ 16. *β' βιβλία* B edd., et sic fere semper, ubi numeralia occurrunt, conf. Praef. cap. II. ‖ 23. *ἔστιν* A ed. pr. | *τὸν ἄκρον**] *τὸν μικρὸν* vulg. (*ι* ex *α* factum L.)

drittens, in wie viel Stunden zu 60 Zeitminuten jedes Sternbild, einschliefslich der zwölf Sternbilder des Tierkreises selbst, aufgeht bez. untergeht.

Zum Schlufs gebe ich auch an, welche Sterne die Grenzen sämtlicher 24 Stundenkreise bestimmen. Dafs nämlich jeder dieser Punkte im engen Zusammenhange mit vielen nützlichen Problemen der strengen Wissenschaft steht, das, meine ich, wirst auch Du unschwer verstehen. 11

Erster Hauptteil.

Die Kritik der „Himmelserscheinungen" des Aratos und des Eudoxos.

Erster Abschnitt.

Die „Himmelserscheinungen" des Aratos verglichen mit denen des Eudoxos.

Dafs sich Aratos an des Eudoxos Darstellung der Himmelserscheinungen eng angeschlossen hat, kann man aus vielen Stellen erkennen, wenn man mit seinen Versen Punkt für Punkt den Wortlaut bei Eudoxos vergleicht. Es ist nicht überflüssig, auch hier mit einigen Worten darauf zurückzukommen, weil dieses Abhängigkeitsverhältnis von der grofsen Mehrzahl in Zweifel gezogen wird. Dem Eudoxos werden zwei Schriften über die Himmelserscheinungen beigelegt, welche mit ganz geringen Ausnahmen fast in allen Punkten mit einander übereinstimmen. Die eine derselben heifst „Der Spiegel", die andere führt den Titel „Himmelserscheinungen". Nach diesen „Himmelserscheinungen" ist das Lehrgedicht verfafst. II. 1 2

A. Einige nördliche Sternbilder.

1. In der letztgenannten Abhandlung schreibt Eudoxos über den Drachen folgendermafsen: „Zwischen den Bären „liegt der Schwanz der Schlange, und zwar mit dem 3

„κεφαλῆς ἔχουσα τῆς Μεγάλης Ἄρκτου. καμπὴν δὲ „ἔχει παρὰ τὴν κεφαλὴν τῆς Μικρᾶς Ἄρκτου καὶ παρα-„τέταται ὑπὸ τοὺς πόδας· ἑτέραν δὲ καμπὴν ἐνταῦθα „ποιησάμενος πάλιν ἀνανεύων ἔμπροσθεν ἔχει τὴν κεφα-
4 „λήν.“ ὁ δὲ Ἄρατος, ὡς ἂν παραγράφων ταῦτα, φησίν·

49 αὐτὰρ ὅ γ' ἄλλην μὲν νεάτῃ ἐπιτείνεται οὐρῇ,
ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
οὐρὴ πὰρ κεφαλὴν Ἑλίκης ἀποπαύεται Ἄρκτου,
σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτὴν 10
εἱλεῖται κεφαλὴν καί οἱ ποδὸς ἔρχεται ἄχρις,
ἐκ δ' αὖτις παλίνορσος ἀνατρέχει.

5 Περὶ δὲ τοῦ Βοώτου ὁ μὲν Εὔδοξός φησιν· „ὄπι-„σθεν δὲ τῆς Μεγάλης Ἄρκτου ἐστὶν ὁ Ἀρκτοφύλαξ.“ ὁ δὲ Ἄρατος· 15

91 ἐξόπιθεν δ' Ἑλίκης φέρεται, ἐλάοντι ἐοικώς,
Ἀρκτοφύλαξ.

καὶ πάλιν ὁ μὲν Εὔδοξος· „ὑπὸ δὲ τοὺς πόδας ἡ „Παρθένος ἐστίν“. ὁ δὲ Ἄρατος·

96 ἀμφοτέροισι δὲ ποσσὶν ὕπο σκέπτοιο Βοώτεω 20
Παρθένον.

6 Ἐπὶ δὲ τοῦ Ἐνγόνασιν ὁ μὲν Εὔδοξός φησι· „παρὰ δὲ τὴν κεφαλὴν τοῦ Ὄφεως ὁ Ἐνγούνασίν „ἐστιν, ὑπὲρ τῆς κεφαλῆς τὸν δεξιὸν πόδα ἔχων.“ ὁ δὲ Ἄρατος· 25

---

1. κάμπην B hic et sic semper. ‖ 8. παρὰ κεφ. P[2], παρ κεφ. LV, παρακεφαλὴν M. ‖ 9. κενόσουρα Vat., κυνοσουρα (sic) L, κυνὸς οὐρὰ P[3], κυνὸς οὔρα V. ‖ 11. εἱλεῖται AV. 14. *Μεγ. Ἄρκ.* ἐστὶν transposui, μεγ. ἐστὶν ἄρκ. vulg. ‖ 16. ἐξόπισθεν AP[3]MV. ‖ 20. ποσὶν A. | ὕπο σκέπτ. corr. *Maass*, ὑπο-

„äufsersten Sterne über dem Kopfe des Grofsen Bären. „Eine Krümmung macht sie bei dem Kopfe des Kleinen „Bären und liegt ausgestreckt unter seinen Füfsen; nachdem sie dort eine zweite Krümmung gemacht, hebt sie „den Kopf wieder empor und hält ihn nach vorn.“ Aratos sagt 4 in offenbarer Nachahmung dieser Stelle folgendermafsen:

49 Er aber streckt zu dem einen die äufserste Spitze des Schwanzes
Und umzieht mit der Windung den andern; vom Schwanze das Ende
Schneidet genau dann ab bei dem Kopfe des gröfseren Bären,
Während der kleinere Bär in der Windung den Kopf hat; es geht dann,
Gleich beim Kopfe gekrümmt, der geschlängelte Leib bis zum Fufse,
Wieder zurück dann fahrend erhebt er sich.

2. Über den Bootes sagt Eudoxos: „Hinter dem 5 „Grofsen Bären befindet sich der Bärenhüter.“ Aratos sagt:

91 Hinter dem Bären sodann, dem Treiber vergleichbar, schwebt der
Hüter des Bären.

Ferner sagt Eudoxos: „Unter seinen Füfsen ist die Jungfrau gelegen.“ Aratos sagt:

96 Unter den Füfsen sodann des Bootes erscheint deinem Blick die
Jungfrau.

3. Bezüglich des Knieenden sagt Eudoxos: „Neben 6 „dem Kopf der Schlange befindet sich der Knieende, „welcher auf denselben den rechten Fufs aufsetzt.“ Aratos sagt:

σκέπτ. vulg. ‖ 22. Ἐνγόνασιν*] ἐν γούνασιν vulg.; semper variant codd. et edd., modo ἐν γόν., modo ἐν γούν. praebentes; scripsi Ἐνγούν. in verbis Eudoxi, alioquin Ἐνγόν. praetuli. ‖ 24. ἔστιν Vat. edd.

69 μέσσῳ δ' ἐφύπερθε καρήνῳ
δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο Δράκοντος.

ἐξ οὗ καὶ μάλιστα φανερὸν γίνεται τὸ προκείμενον· παρ' ἑκατέρῳ γὰρ αὐτῶν ἠγνόηται· τὸν γὰρ ἀριστερὸν ἔχει πόδα ὁ Ἐνγόνασιν ἐπὶ τῆς κεφαλῆς τοῦ Δράκοντος, 5 καὶ οὐ τὸν δεξιόν.

7 Τὸν δὲ Στέφανον ὁ μὲν Εὔδοξός φησιν ὑπὸ τὸν νῶτον τοῦ Ἐνγούνασι κεῖσθαι· ὁ δὲ Ἄρατος·

74 νώτῳ μὲν Στέφανος πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεο⟨ν⟩. 10

περὶ ὧν καὶ ὁ Εὔδοξός φησι· „πλησίον δ' ἐστὶ τῆς „τούτου κεφαλῆς ἡ τοῦ Ὀφιούχου κεφαλή."

8 Περὶ δὲ τῆς θέσεως τῆς Μεγάλης Ἄρκτου ὁ μὲν Εὔδοξός φησιν· „ὑπὸ δὲ τὴν κεφαλὴν τῆς Μεγάλης „Ἄρκτου οἱ Δίδυμοι κεῖνται, ⟨κατὰ μέσον δὲ ὁ Καρκί- 15 „νος,⟩ ὑπὸ δὲ τοὺς ὀπισθίους πόδας ὁ Λέων. πρὸ „δὲ τῶν ἐμπροσθίων ποδῶν τῆς Ἄρκτου ἀστήρ ἐστι „⟨λαμπρός⟩, λαμπρότερος δὲ ὑπὸ τὰ ὀπίσθια γόνατα, 9 „καὶ ἄλλος ὑπὸ τοὺς ὀπισθίους πόδας." ὁ δὲ Ἄρατος·

147 κρατὶ δέ οἱ Δίδυμοι, μέσσῃ δ' ὕπο Καρκίνος ἐστί, 20
ποσσὶ δ' ὀπισθοτέροισι Λέων ὕπο καλὰ φαείνει.

ἐπὶ δὲ τῶν εἰρημένων ἀστέρων·

143 τοῖός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε
εἷς μὲν ὑπωμαίων, εἷς δ' ἰξυόθεν κατιόντων,
ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν. 25

---

5. πόδα ἔχει B. ‖ 7. τόν τε A. | ὑπὸ τὸν νῶτον — Εὐδ. φησι om. B. ‖ 11. ἔστι A. ‖ 20. ὕπο corr. *Maass* hic et infra, ὑπὸ vulg. | καρκῖνος A ed. pr. hic et sic semper. ‖ 24. ὑπω-

69 gerad' auf die Mitte des Kopfes
Setzt er die Spitze vom rechten Fuſs dem geringelten Drachen.

Hier haben wir einen ganz besonders deutlichen Beweis für die Richtigkeit unserer Behauptung. Beide befinden sich nämlich in einem Irrtume; denn der Knieende setzt den linken Fuſs auf den Kopf des Drachens, nicht den rechten.

4. Die Krone, behauptet Eudoxos, liege unter dem Rücken des Knieenden. Aratos sagt: 7

74 Nah' ist unter dem Rücken die Krone, doch nahe dem Haupte
Siehst du das Haupt von dem Träger der Schlange.

Darauf bezüglich sagt Eudoxos: „Nahe seinem Kopfe ist „der Kopf des Schlangenträgers."

5. Über die Lage des Groſsen Bären sagt Eudoxos: „Unter dem Kopfe des Groſsen Bären liegen die Zwillinge, „unter der Mitte der Krebs, und unter den Hinterfüſsen „der Löwe. Vor den Vorderfüſsen des Bären steht ein „heller Stern, ein noch hellerer unter den hinteren Knieen, „und ein anderer unter den Hinterfüſsen." Aratos sagt: 8 9

147 Unter dem Kopfe da liegen die Zwillinge, unter der Mitte
Aber der Krebs, und unter den hinteren Tatzen der Löwe.

Und hinsichtlich der genannten Sterne:

143 So steht ihm vor den Füſsen ein Stern, ein schöner und groſser,
Vor den vorderen einer, den Hinterfüſsen ein andrer,
Endlich ein dritter unter den Knieen der hinteren Beine.

μαίων corr. *Maass*, *ὑπ' ὠμαίων* vulg. ‖ 25. *ἄλλο* A (Vat. *ἄλλ°*). | *οὐραίαις* A, *οὐράις* L, *οὐραῖς* P³MV. | *ὑπὸ*] *ἐπὶ* A.

10 Ἐπὶ δὲ τοῦ Ἡνιόχου ὁ μὲν Εὔδοξός φησι· „κατέναντι δὲ τῆς κεφαλῆς τῆς Μεγάλης Ἄρκτου ὁ Ἡνίοχος „ἔχει τοὺς ὤμους λοξὸς ὢν ὑπὲρ τοὺς πόδας τῶν „Διδύμων, ἔχων τὸν δεξιὸν πόδα κοινὸν τῷ ἐν ἄκρῳ „τῷ ἀριστερῷ κέρατι τοῦ Ταύρου.“ ὁ δὲ Ἄρατος ἐπ' αὐτοῦ φησιν οὕτως· 5

161 Ἑλίκης δέ οἱ ἄκρα κάρηνα
ἀντία δινεύει.

καὶ πάλιν·

174 λαιοῦ δὲ κεράατος ἄκρον 10
καὶ πόδα δεξιτερὸν παρακειμένου Ἡνιόχοιο
εἷς ἀστὴρ ἐπέχει.

11 Ἐπὶ δὲ τοῦ Κηφέως ὁ μὲν Εὔδοξος οὕτως· „ὑπὸ „δὲ τὴν οὐρὰν τῆς Μικρᾶς Ἄρκτου τοὺς πόδας ὁ „Κηφεὺς ἔχει πρὸς ἄκραν τὴν οὐρὰν τρίγωνον ἰσό- 15 „πλευρον ποιοῦντας· τὸ δὲ μέσον αὐτοῦ πρὸς τῇ καμπῇ
12 „τοῦ διὰ τῶν Ἄρκτων Ὄφεως.“ ὁ δὲ Ἄρατός φησιν·

184 ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς
εἰς πόδας ἀμφοτέρους, ὅσση ποδὸς εἰς πόδα τείνει,
αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας 20
πρώτης ἱέμενος καμπῆς σκολιοῖο Δράκοντος.

παρ' ἑκατέρῳ δ' αὐτῶν τὸ πρῶτόν ἐστι ψεῦδος· τὸ γὰρ μεταξὺ τῶν ποδῶν τῶν τοῦ Κηφέως διάστημα ἔλασσόν ἐστιν ἑκατέρου τῶν πρὸς τὴν οὐρὰν διαστημάτων. 25

---

1. κατέναντι δὲ om. B. ‖ 10. λαοῦ Vat. ‖ 11. παρακειμένου*] παρακείμενον vulg. ‖ 16. κάμπη abhinc semper etiam A. ‖ 21. πρώτης ἱέμενος corr. *Maass*, πρώτη δ' ἱέμενος Vat., πρώτη δι' ἕμενος (sic) P¹P², πρώτης ἱέμενος B, πρώτης δ' ἱέμενος edd. ‖

6. Bezüglich des Fuhrmanns sagt Eudoxos: „Gegen- 10
„über dem Kopfe des Groſsen Bären hat der Fuhrmann
„die Schultern in schräger Richtung über den Füſsen der
„Zwillinge, während sein rechter Fuſs zusammenfällt mit
„dem Sterne an der Spitze des linken Stierhornes.“ Aratos
sagt bezüglich desselben folgendermaſsen:

161 und der Kopf des gröſseren Bären
Kreist entgegengewandt.

Und weiterhin:

174 links an der Spitze des Horns und
Rechts am Fuſse des nahanliegenden Fuhrmanns erglänzt ein
Beiden gemeinsamer Stern.

7. Bezüglich des Kepheus sagt Eudoxos folgender- 11
maſsen: „Unter dem Schwanze des Kleinen Bären, mit
„dessen Ende sie ein gleichseitiges Dreieck bilden, liegen
„die Füſse des Kepheus; die Mitte seines Körpers aber
„liegt bei der Windung der durch die Bären sich ziehenden
„Schlange.“ Aratos sagt: 12

184 Gleich groſs dehnt sich an ihm die Linie vom Ende des Schwanzes
Bis zu den Füſsen hinab, wie von Fuſs bis zu Fuſs sie sich ausdehnt.
Aber vom Gürtel hinweg ein weniges blickest du seitwärts
Hin zu der ersten Windung des tückisch geringelten Drachens.

Bei beiden ist jedoch die erste Bemerkung falsch. Der Abstand zwischen den Füſsen des Kepheus ist nämlich geringer als jeder der beiden vom Schwanz aus gemessenen Abstände.

---

22. *δὲ αὐτῶν* A. | *τὸ* ante *πρ.* om. B. | *πρῶτον**] *πλεῖστον* vulg. | *ἔστι* Vat. edd., *ἐστὶ* P¹P². ‖ 24. *τοῦ πρ. τ. οὐρ. διαστήματος* B edd.

13 Πάλιν ἐπὶ τῆς Κασσιεπείας ὁ μὲν Εὔδοξος· „τοῦ „μὲν Κηφέως ἔμπροσθέν ἐστιν ἡ Κασσιέπεια, ταύτης „δὲ ἔμπροσθεν ἡ Ἀνδρομέδα, τὸν μὲν ἀριστερὸν ὦμον „ἔχουσα τῶν Ἰχθύων ὑπὲρ τοῦ πρὸς βορρᾶν, τὴν δὲ „ζώνην ὑπὲρ τοῦ Κριοῦ, πλὴν τὸ Τρίγωνον, ὅ ἐστι 5 „μεταξύ· τὸν δ' ἐν τῇ κεφαλῇ ἀστέρα κοινὸν ἔχει τῷ 14 „τῆς κοιλίας τοῦ Ἵππου." ὁ δὲ Ἄρατος·

188 τοῦ δ' ἄρα δαιμονίη προκυλίνδεται οὐ μάλα πολλὴ
νυκτὶ φαεινομένη παμμήνιδι Κασσιέπεια.

καὶ μετ' ὀλίγον· 10

197 αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται αἰνὸν ἄγαλμα
Ἀνδρομέδης ὑπὸ μητρὶ κεκασμένον.

καὶ πάλιν·

206 ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ
τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ. 15

καὶ πάλιν ἐπὶ τοῦ Κριοῦ·

229 ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.

καὶ ἔτι·

246 Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς Ἰχθύος ἔστω 20
σῆμα βορειοτέρου· μάλα γάρ νύ οἱ ἐγγύθεν ἐστίν.

15 Ἐπὶ δὲ τοῦ Περσέως ὁ μὲν Εὔδοξος οὕτως λέγει· „παρὰ δὲ τοὺς πόδας τῆς Ἀνδρομέδας ὁ Περσεὺς ἔχει „τοὺς ὤμους, τὴν δεξιὰν χεῖρα πρὸς τὴν Κασσιέπειαν

---

3. ἔμπροσθεν] ὑποκάτω scribendum esse videtur. ‖ 5. πλὴν καὶ τρίγ. Ur. ‖ 8. πολλῇ A. ‖ 9. φαινομένη Ur. ‖ 15. ἐσχατοώεντι A (ώε in ras. P²). | καρκήνῳ M, καρκίνῳ in marg. V (in textu

8. Weiter sagt bezüglich der Kassiopeja Eudoxos: 13
„Vor dem Kepheus befindet sich die Kassiopeja, unter
„dieser aber die Andromeda; letztere hat die linke Schulter
„über dem nördlichen Fisch und den Gürtel über dem
„Widder, wenn man von dem Dreieck absieht, welches
„dazwischen liegt. Den Stern im Kopfe hat sie gemein-
„sam mit dem Pferde, an dessen Bauche er steht."
Aratos sagt: 14

188 Vor ihm her da kreiset die Dulderin, jene nicht glanzreich
Nachts bei Vollmondschein sich zeigende Kassiopeja.

Und einige Verse weiter:

197 Kreiset ja dort noch eins, der Andromeda mächtiges Sternbild,
Unter der Mutter, gar trefflich erkennbar.

Und weiter:

206 gemeinsam erglänzt ein Prachtstern,
Ihm an den Nabel gesetzt und ihr an den äufsersten Scheitel.

Und weiter bezüglich des Widders:

229 vom Gürtel jedoch der Andromeda magst du
Ausgehn; denn nur weniges tiefer da ist sein Standort.

Und ferner:

246 Doch der Andromeda linke Schulter, sie sei dir ein Merkmal
Für den nördlichen Fisch; du findest ihn ganz in der Nähe.

9. Bezüglich des Perseus sagt Eudoxos folgender- 15
mafsen: „Längs der Füfse der Andromeda hat der Perseus
„die Schultern; die rechte Hand streckt er nach der Kassio-

καρήνῳ). ‖ 17. *δ' ἂν ὅμως**] *δ' ἂν ὁμῶς* A edd., *δ' ἀνόμως* B (sine acc. L).

„ἀποτείνων, τὸ δὲ ἀριστερὸν γόνυ πρὸς τὰς Πλειάδας.“
ὁ δὲ Ἄρατος περὶ τῆς Ἀνδρομέδας φησίν·

248 ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
Περσέως, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.

καὶ πάλιν· 5

251 καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
πενθερίου δίφροιο.

καὶ μετ' ὀλίγον·

254 ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
Πληϊάδες φορέονται· ὁ δ' οὐ μάλα πολλὸς ἁπάσας 10
⟨χῶρος ἔχει⟩.

16 Ἐπὶ δὲ τοῦ Ὄρνιθος ὁ μὲν Εὔδοξος· „παρὰ δὲ „τὴν δεξιὰν χεῖρα τοῦ Κηφέως ἡ δεξιὰ πτέρυξ ἐστὶ „τοῦ Ὄρνιθος, παρὰ δὲ τὴν ἀριστερὰν πτέρυγα οἱ „πόδες τοῦ Ἵππου.“ ὁ δὲ Ἄρατός φησιν ἐπὶ τοῦ 15 Ὄρνιθος·

279 κατὰ δεξιὰ χειρὸς
Κηφείης ταρσοῖο τὰ δεξιὰ πείρατα φαίνων,
λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται Ἵππου.

καὶ ἄλλων δὲ πλειόνων ὄντων, ἅπερ ἂν δόξειεν οἱονεὶ 20 παραγεγράφθαι, ἀρκέσει καὶ ταῦτα χάριν τοῦ μὴ μηκύνειν.

17 Χωρὶς δὲ τούτων καὶ ἡ διαίρεσις τῶν ἄστρων φανερὸν ποιεῖ τὸ προκείμενον. καὶ γὰρ Εὔδοξος ὡς καὶ ὁ Ἄρατος πρῶτον ἀναγράφει τὰ βορειότερα ἄστρα 25

---

1. τὰς πληιάδας L P³, τὰς πληιάδας edd. ‖ 3. γαμβροῦ om. B. | ἐπισημαίνοιεν] ἐπιδινεύονται B edd. ‖ 4. περσῆος B. ‖ 6. ἐπικλισμὸν L, ἐπινλισμὸν V. ‖ 9. ἐπὶ γουνίδος Vat., ἐπιγούνιδος M, sine acc. L. | ἤλιθα Vat. ‖ 10. ὅδ' οὐ Vat. P³. | πολλὰς B. | 17. καταδεξιαχειρος (sic) L, καταδεξια P³V. ‖ 25. ὁ om. A.

„peja aus, das linke Knie nach den Plejaden hin.“ Aratos sagt von der Andromeda:

248 Beide die Füſse, sie zeigen den Bräutigam an durch die Richtung,
Perseus, welchem sie stets in der Nähe der Schultern verbleiben.

Und weiterhin:

251 Und so streckt er die Rechte hinauf, wo sie thront auf dem Sessel,
Sie, die Mutter der Braut.

Und kurz darauf:

254 Nahe sodann seinem Knie, dem linken, bewegen gedrängt sich
Alle Plejaden, und nicht sehr beträchtlich groſs ist der Raum, der
Alle sie faſst.

10. Bezüglich des Schwanes sagt Eudoxos: „Neben „der rechten Hand des Kepheus liegt der rechte Flügel „des Schwanes, neben dem linken Flügel die Füſse des „Pferdes.“ Aratos sagt bezüglich des Schwanes: 16

279 zu der Rechten des Kepheus
Läſst er die Spitzen leuchten des rechtshinstreifenden Fittichs,
Aber den linken Flügel berührt fast im Sprunge der Roſshuf.

Und so gäbe es noch manche andere Stellen, welche den Eindruck einer unmittelbaren Nachahmung bestätigen würden; aber ich lasse es bei diesen bewenden, um nicht in den Fehler einer zu groſsen Ausführlichkeit zu verfallen.

B. Die Einteilung des Stoffes.

Von solchen Übereinstimmungen abgesehen, bestätigt ferner auch die Einteilung der Sternbilder die aufgestellte Behauptung. Nämlich genau wie Eudoxos verzeichnet auch Aratos zuerst die nördlich der Ekliptik gelegenen 17

τοῦ ζῳδιακοῦ, ἔπειθ' οὕτως τὰ νοτιώτερα. καὶ τὰς συνανατολάς τε καὶ συγκαταδύσεις τοῖς δώδεκα ζῳδίοις τῶν ἄλλων ἄστρων ὁμοίως τέταχεν ὁ Ἄρατος τῷ Εὐδόξῳ.

18 *Περὶ δὲ τῶν ἀστέρων τῶν ἐπὶ τοῦ θερινοῦ καὶ χειμερινοῦ τροπικοῦ φερομένων, ἔτι δὲ ἐπὶ τοῦ ἰσημερινοῦ, ὁ μὲν Εὔδοξός φησιν ἐπὶ τοῦ θερινοῦ οὕτως· „ἔστι δὲ ἐν τούτῳ τὰ μέσα τοῦ Καρκίνου καὶ τὰ διὰ „τοῦ σώματος κατὰ μῆκος τοῦ Λέοντος, τῆς δὲ Παρ-„θένου ⟨τὰ⟩ μικρὸν ἄνωθεν, καὶ ὁ αὐχὴν τοῦ ἐχο-„μένου Ὄφεως, καὶ ἡ δεξιὰ χεὶρ τοῦ Ἐνγούνασι, καὶ „ἡ κεφαλὴ τοῦ Ὀφιούχου, καὶ ὁ αὐχὴν τοῦ Ὄρνιθος „καὶ ἡ ἀριστερὰ πτέρυξ, καὶ οἱ τοῦ Ἵππου πόδες, ἔτι „δὲ καὶ ἡ δεξιὰ χεὶρ τῆς Ἀνδρομέδας καὶ τὸ μεταξὺ „τῶν ποδῶν, καὶ τοῦ Περσέως ὁ ἀριστερὸς ὦμος καὶ „ἡ ἀριστερὰ κνήμη, ἔτι δὲ τὰ γόνατα τοῦ Ἡνιόχου „καὶ αἱ κεφαλαὶ τῶν Διδύμων· εἶτα συνάπτει πρὸς τὰ*
19 *„μέσα τοῦ Καρκίνου.“ ὁ δὲ Ἄρατος ἀπὸ τῶν ἐσχάτων ἀρξάμενός φησιν·*

481 *ἐν δέ οἱ ἀμφότεραι κεφαλαὶ Διδύμων φορέονται,*
ἐν δὲ τὰ γούνατα κεῖται ἀρηρότος Ἡνιόχοιο,
λαιὴ δὲ κνήμη καὶ ἀριστερὸς ὦμος ἐπ' αὐτοῦ
Περσέως, Ἀνδρομέδης δὲ μέσην ἀγκῶνος ὕπερθεν
δεξιτερὴν ἐπέχει· τὸ μέν οἱ θέναρ ὑψόθι κεῖται
ἀσσότερον βορέαο, νότῳ δ' ἐπικέκλιται ἀγκών·
ὁπλαὶ δ' Ἵππειοι καὶ ὑπαύχενον Ὀρνίθειον
ἄκρη σὺν κεφαλῇ καλοί τ' Ὀφιούχεοι ὦμοι

καὶ τὰ ἑξῆς.

---

1. *ἔπειτα* edd. ‖ 2. *τε**] *δὲ* vulg. ‖ 3. *ἀστέρων* B. | *τεταχὼς* B edd. ‖ 7. *δ' ἐν* A. ‖ 13. *καὶ* ante *ἡ* om. A. ‖ 14. *καὶ τοῦ Περσέως ὁ**] *τοῦ περσέως· καὶ ὁ* vulg. ‖ 15. *γούνατα* edd. | *τὰ τοῦ ἡν.* A edd. ‖ 16. *συνάπτει**] *συμπίπτει* vulg. ‖ 20. *ἐν δέ οἱ*

Sternbilder, alsdann ebenso die südlich gelegenen. Auch die mit den zwölf Zeichen des Tierkreises gleichzeitig stattfindenden Auf- und Untergänge der übrigen Sternbilder hat Aratos an derselben Stelle behandelt, wie Eudoxos.

C. Die Sterne auf den Wendekreisen und dem Äquator.

1. Was aber die Sterne anbelangt, welche auf dem (18) Sommer- und dem Winterwendekreise und ferner auf dem Äquator ihre Bahn haben, so sagt Eudoxos bezüglich des Sommmerwendekreises folgendermaſsen: „Es liegt auf „diesem die Mitte des Krebses und der Längsdurchschnitt „von dem Körper des Löwen, von der Jungfrau die nur „wenig nördlich gelegenen Teile, der Nacken der ge„tragenen Schlange, die rechte Hand des Knieenden, der „Kopf des Schlangenträgers, der Hals und der linke Flügel „des Schwanes, die Füſse des Pferdes, ferner sowohl die „rechte Hand der Andromeda als auch der Raum zwischen „ihren Füſsen, vom Perseus die linke Schulter und das „linke Schienbein, ferner die Kniee des Fuhrmanns und „die Köpfe der Zwillinge; dann schlieſst er sich wieder „an die Mitte des Krebses an.“ Aratos sagt in um- (19) gekehrter Reihenfolge:

481 Hierin bewegen im Kreise sich beide der Zwillinge Häupter,
Hierin liegen die Kniee des angefügeten Fuhrmanns;
Auf ihm ruht mit dem linken Bein und der nämlichen Schulter
Perseus; von der Andromeda faſst er über dem Armbug
Mitten die Rechte; die Fläche der Hand liegt höher hinauf zu,
Weiter nach Norden, dem Süden näher dagegen der Armbug;
Dann die Hufe des Rosses, der untere Teil von dem Halse
Samt dem Kopfe des Schwans, vom Schlangenträger die Schultern

u. s. w.

τὰ A. | ἀρηρότος] ἄκροτος in marg. adscr. MV. ‖ 21. ὑπ’ αὐτοῦ A. ‖ 22. μέσον B. ‖ 24. νώτῳ LP³M. | δὲ ἐπικ. V. ‖ 25. ἱππαύχενον B.

20 Ἐπὶ δὲ τοῦ χειμερινοῦ τροπικοῦ ὁ μὲν Εὔδοξός φησιν οὕτως· „ἔστι δὲ ἐν αὐτῷ τὰ μέσα τοῦ Αἰγόκερω, „καὶ οἱ πόδες τοῦ Ὑδροχόου, καὶ τοῦ Κήτους ἡ οὐρά, „καὶ τοῦ Ποταμοῦ ἡ καμπή, καὶ ὁ Λαγωός, καὶ τοῦ „Κυνὸς οἱ πόδες καὶ ἡ οὐρά, καὶ τῆς Ἀργοῦς ἡ πρύμνα 5 „καὶ ὁ ἱστός, καὶ τοῦ Κενταύρου ὁ νῶτος καὶ τὰ „στήθη, καὶ τὸ Θηρίον, καὶ τοῦ Σκορπίου τὸ κέντρον· „εἶτα διὰ τοῦ Τοξότου πρὸς τὰ μέσα τοῦ Αἰγόκερω 21 „συνάπτει." ὁ δὲ Ἄρατός φησιν οὕτως·

501 ἄλλος δ' ἀντιόωντι νότῳ μέσον Αἰγοκερῆα 10
τέμνει καὶ πόδας Ὑδροχόου καὶ Κήτεος οὐρήν·
ἐν δέ οἵ ἐστι Λαγωός· ἀτὰρ Κυνὸς οὐ μάλα πολλὴν
αἴνυται, ἀλλ' ὁπόσην ἐπέχει ποσίν· ἐν δέ οἱ Ἀργὼ
καὶ μέγα Κενταύροιο μετάφρενον, ἐν δὲ τὸ κέντρον
Σκορπίου, ἐν καὶ τόξον ἐλαφροῦ Τοξευτῆρος. 15

ὁμοίως δὲ τούτοις παραγέγραφεν ὁ Ἄρατος καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ κύκλου κείμενα.

22 Χωρὶς δὲ τούτων καὶ τὸ κλίμα τοῦ κόσμου <τὸ αὐτὸ> τῷ Εὐδόξῳ ὑποτίθεται ὁ Ἄρατος. καὶ γὰρ ὁ Εὔδοξος ἐν τῷ ἐπιγραφομένῳ Ἐνόπτρῳ τὸν τροπικὸν 20 τέμνεσθαί φησιν οὕτως, ὥστε λόγον ἔχειν τὰ τμήματα πρὸς ἄλληλα τὸν αὐτόν, οἷον ἔχει τὰ ε΄ πρὸς τὰ γ΄.

---

2. δ' ἐν A. ‖ 3. τοῦ ante Ὑδρ. om. B. | ὑδρηχόου hic tantum Vat., ceterum semper ὑδροχ. A Ur., ὑδριχ. B ed. pr. hic et sic semper. ‖ 4. λαγῳὸς Vat. B (L λαγωιὸς) edd. hic et sic semper, λαγωγὸς P¹P² hic et sic saepius, γ plerumque erasum P². ‖ 6. ὀιστὸς Vat., ὁ ἱστὸς P²LMV edd., ὁ ϊστὸς P¹. ‖ 10. αἰγοκερῆσι B. ‖ 12. οἵ ἔστι A edd., οἵ ἐστὶ B. ‖ 14. ἐν δέ οἱ κέντρ. B. |

2. Bezüglich des Winterwendekreises sagt Eudoxos 20
folgendermaſsen: „Es liegt auf ihm die Mitte des Stein-
„bocks, die Füſse des Wassermanns, der Schwanz des
„Walfisches, die Biegung des Flusses, der Hase, die Füſse
„und der Schwanz des Groſsen Hundes, das Hinterteil und
„der Mast der Argo, der Rücken und die Brust des Ken-
„tauren, der Wolf und der Stachel des Skorpions; dann
„schlieſst er sich durch den Schützen wieder an die Mitte
„des Steinbocks an.“ Aratos sagt folgendermaſsen: 21

501 Der entsprechende südliche Kreis trennt mitten den Steinbock,
Schneidet des Wassermanns Füſse, sodann auch den Schwanz von dem Walfisch;
Drin kreist ferner der Hase; vom Hunde jedoch nicht sehr viel
Nimmt er hinweg, nur was mit den Füſsen er decket; die Argo,
Des Kentauren mächtiger Rücken, ferner der Stachel
Des Skorpions, und endlich der Bogen des rührigen Schützen.

In ähnlicher Weise hat Aratos auch die Beschreibung der auf dem Äquator liegenden Gestirne entlehnt.

D. Die geographische Breite.

Hierzu kommt noch ein Punkt. Sogar dieselbe geo- 22
graphische Breite legt Aratos zu Grunde, wie Eudoxos. In der „Spiegel“ betitelten Schrift sagt Eudoxos nämlich, der Wendekreis werde so geschnitten, daſs die Stücke zu einander in dem Verhältnisse von 5 : 3 stehen.

---

15. *ἐν* om. B. ‖ 18. *καὶ ταὐτὸ κλίμα* coni. *Scal.* | ⟨*τὸ αὐτὸ*⟩ add. *Pet.* ‖ 19. *τῷ*] *τούτῳ* A. ‖ 22. *οἷον*] scrib. esse vid. *ὅν*.

Cap. III.

1 *Ὅτι μὲν οὖν Εὐδόξῳ ἐπακολουθήσας ὁ Ἄρατος συντέταχε τὰ Φαινόμενα, ἱκανῶς οἶμαι δεικνύναι διὰ τῶν προειρημένων. ἐν οἷς δὲ διαπίπτουσιν οὗτοί τε καὶ οἱ συνεπιγραφόμενοι αὐτοῖς, ὧν ἐστι καὶ ὁ Ἄτταλος,* 5 *νῦν ὑποδείξομεν. ἐκθησόμεθα δὲ εὐθέως καὶ ἐν οἷς ἰδίᾳ ἕκαστος αὐτῶν διαμαρτάνει.*

2 *Προδιαληπτέον δέ, διότι Ἄτταλος πᾶσι σχεδὸν τοῖς ὑπὸ τοῦ Ἀράτου λεγομένοις περὶ τῶν οὐρανίων συνεπιγράφεται ὡς συμφώνως τοῖς φαινομένοις ὑπ' αὐτοῦ* 10 *λεγομένοις, πλὴν ἐφ' ἑνὸς καὶ θατέρου, ἃ δὴ καὶ* 3 *ὑποδείξομεν ἐν τοῖς ἑξῆς. λέγει γοῦν ἐν τῷ προοιμίῳ τὸν τρόπον τοῦτον· „διὸ δή τό τε τοῦ Ἀράτου βιβλίον „ἐξαπεστάλκαμέν σοι διωρθωμένον ὑφ' ἡμῶν καὶ τὴν „ἐξήγησιν αὐτοῦ, τοῖς τε φαινομένοις ἕκαστα σύμφωνα* 15 *„ποιήσαντες καὶ τοῖς ὑπὸ τοῦ ποιητοῦ γεγραμμένοις „ἀκόλουθα.“ καὶ πάλιν ἑξῆς φησι· „τάχα δέ τινες „ἐπιζητήσουσι, τίνι λόγῳ πεισθέντες φαμὲν ἀκολούθως „τῇ τοῦ ποιητοῦ προαιρέσει τὴν διόρθωσιν τοῦ βιβλίου „πεποιῆσθαι· ἡμεῖς δὲ ἀναγκαιοτάτην αἰτίαν ἀποδίδομεν* 20 *„τὴν τοῦ ποιητοῦ πρὸς τὰ φαινόμενα συμφωνίαν.“* 4 *τοιαύτην οὖν ἔχοντος τοῦ Ἀττάλου τὴν διάληψιν, ὅσα ἂν ἀποδεικνύωμεν τῶν ὑπὸ τοῦ Ἀράτου καὶ Εὐδόξου κοινῶς λεγομένων διαφωνοῦντα πρὸς τὰ φαινόμενα,*

5. ὁ om. Vat. ‖ 7. *ἰδία* AP³ ed. pr., *ἰδίαι* L. ‖ 8. *προληπτέον* B edd. ‖ 11. *θατέρου**] *δευτέρου* vulg. ‖ 12. *ἐν τοῖς ἐφεξῆς* B (*ἐφ' ἑξῆς* L) edd. | *γ' οὖν* LP³M edd. hic et sic semper. ‖ 14. *σοι* om. B. ‖ 18. *ἐπιζητοῦσιν* B edd. ‖ 20. *δ' ἀναγκ.* A. ‖ 21. *τοῦ ποιητοῦ* om. A. | *πρὸς τὰ φαινόμενα* om. B edd. ‖ 22. *ἔχοντες* A.

Zweiter Abschnitt.

Die „Himmelserscheinungen" des Aratos und des Eudoxos verglichen mit den für die Breite von Athen geltenden Erscheinungen unter besonderer Berücksichtigung des Kommentars des Attalos.

Einleitung.

Verhältnis des Attalos zu Aratos.

Dafs also Aratos seine „Himmelserscheinungen" im engen Anschlufs an Eudoxos verfafst hat, meine ich in dem vorstehenden Abschnitte zur Genüge gezeigt zu haben. Worin aber sie und ihre Nachbeter, zu denen auch Attalos gehört, Fehler begehen, das wollen wir jetzt nachweisen. Gleichzeitig werden wir aber auch auseinandersetzen, worin jeder von ihnen seine eigenen Fehler macht. III. 1

Vorausgeschickt mufs werden, dafs Attalos fast alle Angaben, welche von Aratos über die Himmelserscheinungen gemacht werden, als übereinstimmend mit der Wirklichkeit ohne weiteres anerkennt, mit Ausnahme von einem oder dem anderen Fall, den wir auch im folgenden gebührend hervorheben werden. In dem Vorwort spricht er sich folgendermafsen aus: „So übersenden wir Dir denn das „Buch des Aratos in der von uns besorgten kritischen „Ausgabe, sowie auch den Kommentar dazu, nachdem wir „alle Einzelheiten teils mit der Wirklichkeit in Überein- „stimmung, teils mit den niedergeschriebenen Worten des „Dichters in Einklang gebracht haben." Und weiterhin sagt er dann: „Vielleicht wird man die Frage aufwerfen, „welchem Grundsatze folgend wir die kritische Behand- „lung des Buches im Sinne des Dichters gehandhabt zu „haben meinen; da erklären wir denn für den zwingendsten „Grund die Übereinstimmung des Dichters mit der Wirk- „lichkeit." Bei dieser Auffassung des Attalos ist es notwendig, dafs wir überall da, wo wir bei übereinstimmender Darstellung des Aratos und Eudoxos Widersprüche mit der Wirklichkeit nachweisen, auch den Attalos für sein 2 3 4

δεῖ διαλαμβάνειν καὶ τὸν Ἄτταλον περὶ τῶν αὐτῶν διημαρτημένως συναποφαινόμενον.

5 Πρῶτον μὲν οὖν ὁ Ἄρατος ἀγνοεῖν μοι δοκεῖ τὸ ἔγκλιμα τοῦ κόσμου νομίζων ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τοιοῦτον εἶναι, ὥστε τὴν μεγίστην ἡμέραν 5 λόγον ἔχειν πρὸς τὴν ἐλαχίστην τὸν αὐτόν, ὃν ἔχει τὰ ε′ πρὸς τὰ γ′. λέγει γὰρ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ·

497 τοῦ μέν, ὅσον τε μάλιστα, δι᾽ ὀκτὼ μετρηθέντος
πέντε μὲν ἔνδια στρέφεται καὶ ὑπέρτερα γαίης,
τὰ τρία δ᾽ ἐν περάτῃ. 10

6 συμφωνεῖται δή, διότι ἐν μὲν τοῖς περὶ τὴν Ἑλλάδα τόποις ὁ γνώμων λόγον ἔχει πρὸς τὴν ἰσημερινὴν σκιάν, ὃν ἔχει τὰ δ′ πρὸς τὰ γ′. ἐκεῖ δὴ τοίνυν ἡ μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ἰσημερινῶν ιδ′ καὶ τριῶν ἔγγιστα πεμπτημορίων, τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν 15 7 λζ′ ὡς ἔγγιστα. ὅπου δὲ ἡ μεγίστη ἡμέρα λόγον ἔχει πρὸς τὴν ἐλαχίστην, ὃν ἔχει τὰ ε′ πρὸς τὰ γ′, ἐκεῖ ἡ μὲν μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ιε′, τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν μα′ ὡς ἔγγιστα. δῆλον τοίνυν ὅτι οὐ δυνατὸν ἐν τοῖς περὶ τὴν Ἑλλάδα ⟨τόποις⟩ τὸν προ- 20 ειρημένον εἶναι λόγον τῆς μεγίστης ἡμέρας πρὸς τὴν ἐλαχίστην, ἀλλὰ μᾶλλον ἐν τοῖς περὶ τὸν Ἑλλήσποντον τόποις.

8 Καίτοι γε ὁ μὲν Ἄρατος οὐκ ἀφ᾽ ἑαυτοῦ κρίσιν περὶ τῶν τοιούτων προφερόμενος γέγραφεν, ἀλλὰ τῷ 25 Εὐδόξῳ καὶ περὶ τούτου κατακολουθήσας. εἰ δὲ καὶ ἀφ᾽ ἑαυτοῦ γέγραφεν, οὐ διασαφήσας, ἐν ποίοις ⟨τόποις⟩ ἐστὶν ἡ προειρημένη ἔγκλισις τοῦ κόσμου, τάχα ἂν 9 κατά γε τοῦτο διακρούοιτο τὸ ἔγκλημα. ὁ μέντοι γε

6. τὸν αὐτὸν om. B. | τὸν αὐτὸν τρόπον, ὃν A. | ἔχειν A. || 9. ἐνδιαστρέφεται AB. || 12. ἡμερινὴν B ed. pr., ἡσημερινὴν Ur.,

Teil unserer Kritik unterziehen, wenn er über dieselben Punkte unrichtige Angaben ohne weiteres gelten läſst.

Zunächst scheint mir Aratos über die geographische Breite im Irrtum zu sein, wenn er meint, daſs sie in den Gegenden von Griechenland zur Folge habe, daſs der längste Tag zum kürzesten in dem Verhältnisse von 5 : 3 stehe. Er sagt nämlich bezüglich des Sommerwendekreises: 5

497 Wenn du den Umfang desselben in acht Abschnitte zerteilest,
Drehen sich fünf dann über der Erde am Himmelsgewölbe,
Drei in der unteren Hälfte.

Darüber ist man jedenfalls einig, daſs in den Gegenden von Griechenland der Schattenzeiger zum Mittagschatten der Tag- und Nachtgleichen in dem Verhältnisse von 4 : 3 steht. Folglich hat dort der längste Tag eine Dauer von etwa $14^3/_5$ Stunden, während die Polhöhe ungefähr 37^0 beträgt. Wo aber der längste Tag zum kürzesten in dem Verhältnisse von 5 : 3 steht, dort hat der längste Tag eine Dauer von 15 Stunden, während die Polhöhe ungefähr 41^0 beträgt.[2]) Demnach ist klar, daſs in den Gegenden von Griechenland das letztgenannte Verhältnis des längsten Tages zum kürzesten unmöglich stattfinden, sondern vielmehr nur für die Gegenden am Hellespont gelten kann. 6 7

Allerdings hat Aratos eine selbständige bestimmte Ansicht über derartige Verhältnisse in seinem Werke nicht vorgebracht, sondern ist auch hierin dem Eudoxos gefolgt. Aber gesetzt auch, er hätte es gethan, so dürfte er doch vielleicht deswegen, weil er nicht ausdrücklich angegeben hat, für welche Gegenden die angedeutete geographische Breite gilt, wenigstens in diesem Punkte einen Tadel nicht verdienen. Ganz anders Attalos, der sich 8 9

---

corr. *Migne.* ‖ 15. *μοιρῶν*] *μορίων* A. ‖ 19. *μοιρῶν*] *μ⁰* hic et semper abbr. B ed. pr., *μοῖ* Ur., ut etiam nonnusquam A. ‖ 28. *τάχ' ἂν* P¹P². ‖ 29. *ἔγκλιμα* P²V. | *ὁ μέν γε* P²P³.

Ἄτταλος ὁμολογουμένως ἠγνόει λέγων ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τὴν μεγίστην ἡμέραν πρὸς τὴν ἐλαχίστην λόγον ἔχειν, ὃν ⟨ἔχει⟩ τὰ ε′ πρὸς τὰ γ′. προεκθέμενος γὰρ τὰ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ ποιήματα, ἐπιφέρει ταυτί· „διὰ δὲ τούτου φανερὸν ποιεῖ, διότι τὴν ὅλην „πραγματείαν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις πεποίηται· „παρ᾿ ἐκείνοις γάρ ἐστιν ἡ μακροτάτη ἡμέρα πρὸς τὴν
10 „μικροτάτην νύκτα ὡς τὰ ε′ πρὸς τὰ γ′.“ ἔτι δὲ μᾶλλον θαυμάσειεν ἄν τις, πῶς ποτε οὐκ ἐπέστησε τοῦ Εὐδόξου ἐν τῷ ἑτέρῳ συντάγματι διαφόρως ἐκθεμένου καὶ γράφοντος, ὅτι τὸ ὑπὲρ γῆν τοῦ τροπικοῦ τμῆμα πρὸς τὸ ὑπὸ γῆν λόγον ἔχει, ὃν ⟨ἔχει⟩ τὰ ιβ′ πρὸς τὰ ζ′, ὁμοίως δὲ τούτῳ καὶ τῶν περὶ Φίλιππον ἀναγραφόντων καὶ ἄλλων πλειόνων, πλὴν ὅτι συντετάχασι μὲν τὰς συνανατολάς τε καὶ συγκαταδύσεις τῶν ἄστρων ὡς ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τετηρημένων, κατὰ δὲ τὸ ἔγκλιμα τῶν τόπων τούτων διημαρτήκασι.

11 Παραπέμψαντες ⟨οὖν⟩ τοῦτο τὸ ἀγνόημα τὴν ὅλην αὐτῶν σύνταξιν ἐπεσκεψάμεθα πρὸς τὸν ἐν τῇ Ἑλλάδι ὁρίζοντα. οὐδὲ γὰρ φιλαλήθους, ἀλλὰ κενοσπούδου, τὸ κατὰ πάντα μαχόμενον τῇ διεψευσμένῃ ὑποθέσει ἐπιλαμβάνεσθαι αὐτῶν, κἂν τύχῃ συμφώνως λεγόμενα
12 τοῖς ἐν τῇ Ἑλλάδι φαινομένοις. ὑποκείσθω δὲ ἡμῖν ὁρίζων πρὸς τὴν ἐπίσκεψιν ὁ ἐν Ἀθήναις, οὗ ἐστιν ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ′ καὶ τριῶν πεμπτημορίων, τὸ δὲ ἔξαρμα τοῦ πόλου περὶ μοίρας λζ′.

---

3. ἐκθέμενος B. ‖ 4. ἐπιφέρεται A edd. ‖ 5. διὰ δὲ τοῦτο B ed. pr. ‖ 13. τούτων A. ‖ 14. πλὴν ὅτι συντετάχασι*] πλὴν ἐπισυντετ. vulg. (ἐπὶ συντετ. M.) ‖ 16. ὡς om. B. ‖ 17. ἔγκλημα A. ‖

zweifelsohne in einem Irrtume befand, weil er ausdrücklich sagt, daſs in den Gegenden von Griechenland der längste Tag zum kürzesten in dem Verhältnisse von 5 : 3 stehe. Nachdem er nämlich die auf den Sommerwendekreis bezüglichen Verse angeführt hat, fährt er fort: „Hiermit „giebt er deutlich zu verstehen, daſs er die ganze Dar„stellung in den Gegenden von Griechenland verfaſst hat; „denn dort steht der längste Tag zur kürzesten Nacht in „dem Verhältnisse von 5 : 3.“ 10 Noch mehr muſs man sich wundern, daſs er nicht aufmerksam geworden ist, wo doch Eudoxos in der anderen Schrift ein abweichendes Zahlenverhältnis angiebt und schreibt, daſs der Abschnitt des Wendekreises über der Erde sich zu dem unter der Erde verhalte wie 12 : 7, wo ferner in Übereinstimmung mit diesem auch die Astronomen aus der Schule des Philippos und andere mehr ihre Aufzeichnungen machen, allerdings mit dem Unterschiede, daſs sie die gleichzeitig erfolgenden Auf- und Untergänge der Gestirne ausdrücklich nach Beobachtungen, welche in den Gegenden von Griechenland gemacht sein sollen, zusammengestellt haben, wobei sie freilich hinsichtlich der geographischen Breite dieser Gegenden eine fehlerhafte Bestimmung getroffen haben.

11 Ohne nun den besprochenen Irrtum weiter in Betracht zu ziehen, haben wir ihre gesamte Darstellung nach dem Horizont von Griechenland[5]) geprüft. Denn es verträgt sich nicht mit dem Streben nach Wahrheit, sondern verrät nur blinden Eifer, wenn man Verhältnisse, die ja eigentlich mit ihrer von vorn herein falschen Annahme durchaus unvereinbar sein müssen, ihnen auch dann immer wieder als fehlerhaft vorhalten wollte, wenn sie zufällig einmal mit den Himmelserscheinungen in Griechenland übereinstimmend dargestellt sind. 12 Zu Grunde gelegt sei unserer Betrachtung der Horizont von Athen, wo der längste Tage eine Dauer von $14\frac{3}{5}$ Stunden hat und die Polhöhe etwa 37^0 beträgt.

19. ⟨οὖν⟩] ἡμεῖς οὖν addi voluit *Pet.* ‖ 23. ἀλλὰ κἂν B ed. pr. *οὐ συμφώνως* coni. *Scal.*

Cap. IV.

1 *Περὶ μὲν οὖν τοῦ βορείου πόλου Εὔδοξος ἀγνοεῖ λέγων οὕτως· „ἔστι δέ τις ἀστὴρ μένων ἀεὶ κατὰ τὸν „αὐτὸν τόπον· οὗτος δὲ ὁ ἀστὴρ πόλος ἐστὶ τοῦ κόσμου.“ ἐπὶ γὰρ τοῦ πόλου οὐδὲ εἷς ἀστὴρ κεῖται, ἀλλὰ κενός* 5 *ἐστι τόπος, ᾧ παράκεινται τρεῖς ἀστέρες, μεθ' ὧν τὸ σημεῖον τὸ κατὰ τὸν πόλον τετράγωνον ἔγγιστα σχῆμα περιέχει, καθάπερ καὶ Πυθέας φησὶν ὁ Μασσαλιώτης.*

2 *Ἐχομένως δὲ καὶ διαμαρτάνουσι πάντες ἐν τῇ τοῦ Δράκοντος θέσει, ὑπολαμβάνοντες τὴν καμπὴν αὐτὸν* 10 *ποιεῖσθαι περὶ τὴν κεφαλὴν τῆς Μικρᾶς Ἄρκτου. οἱ γὰρ λαμπρότατοι καὶ ἡγούμενοι τῶν ἐν τῷ πλινθίῳ ταύτης ἀστέρων, ὧν ὁ μὲν βορειότερός ἐστι κατ' αὐτοὺς ἐπὶ τῆς κεφαλῆς, ὁ δὲ νοτιώτερος ἐπὶ τῶν ἐμπροσθίων ποδῶν, παραλλήλως ἔγγιστα κεῖνται τῇ* 15 *οὐρᾷ τοῦ Δράκοντος. ψεῦδος οὖν ἐστι τὸ*

> 52 *σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτὴν*
> *εἱλεῖται κεφαλήν.*

3 *ὁμοίως δὲ καὶ ὁ Εὔδοξος γράφει. ἰδίᾳ δὲ ὁ Ἄρατος ἐπὶ τοῦ Δράκοντος ἀγνοεῖ, πρῶτον μὲν τῷ φάσκειν* 20 *„σπείρης ἑκάτερθε φέρεσθαι τὰς Ἄρκτους“· τῆς γὰρ οὐρᾶς ἑκατέρωθέν εἰσι, καὶ οὐ τῆς σπείρας. ἀντεστραμμένων γὰρ αὐτῶν καὶ ὡσανεὶ παραλλήλως κειμένων ἡ οὐρὰ τοῦ Δράκοντος μεταξὺ αὐτῶν διὰ μήκους παρα-*

---

6. *τόπος* om. B. ‖ 7. *ἔγγισθα* ed. pr. ‖ 9. *καὶ* om. A. ‖ 10. *αὐτὸν*] *αὐτοῦ* B edd. ‖ 13. *κατ' αὐτοὺς* corr. *Pet.*, *κατὰ τοῦ* vulg.; *κατ' αὐτὸν* coni. *Scal.* ‖ 17. *κυνὸς οὐρακάρη* Vat. P¹, *κυνὸς οὐρᾶ κ:* P². | *κατ' αὐτὸν* LMV. ‖ 18. *εἰλεῖται* A edd. ‖ 19. *ἰδία* AMV, *ἰδίαι* L. ‖ 21. *σπείρη* A. ‖ 22. *σπείρας**] *σπείρης* vulg. ‖ 23. *ὡς ἀνεὶ* L.

Erste Abteilung.

Betrachtung des für die geographische Breite von 37° sichtbaren Sternenhimmels (Phaen. v. 19—558).

I. Sternbilder und Gestirnstände.

A. Der nördliche Sternenhimmel.

1. Was den nördlichen Pol anbelangt, so befindet sich Eudoxos in einem Irrtume, wenn er also sagt: „Es giebt „einen Stern, welcher immer an derselben Stelle bleibt. „Dieser Stern ist der Pol der Welt.“ Am Pol steht nämlich kein Stern, sondern dort ist ein leerer Raum, in dessen Nähe drei Sterne ($\varkappa$ λ Drac. und β Ursi min.) stehen, mit denen der Punkt am Pol ungefähr die Figur eines Vierecks bildet, eine Behauptung, die auch Pytheas von Massilia aufstellt. IV. 1

2. Weiter treffen alle auch eine falsche Bestimmung in der Lage des Drachens mit der Annahme, dafs er die Windung um den Kopf des Kleinen Bären herum mache. Es liegen nämlich die hellsten und vorangehenden Sterne (β γ) von dem Viereck des letzteren, von denen der nördlichere (β) nach ihrer Annahme im Kopfe, der südlichere (γ) in den Vorderfüfsen steht, ungefähr parallel mit dem Schwanze (ι α $\varkappa$ λ) des Drachens. Falsch ist also die Angabe: 2

52 Während der kleinere Bär in der Windung den Kopf
hat; es geht dann
Gleich beim Kopfe gekrümmt u. s. w.

Ähnlich drückt sich auch Eudoxos aus. In einer nur ihm eigenen irrtümlichen Auffassung ist Aratos hinsichtlich des Drachens befangen, und zwar erstens, wenn er behauptet, dafs „zu beiden Seiten der Windung die Bären „liegen“; denn sie liegen zu beiden Seiten des Schwanzes, und nicht der Windung. Indem sie nämlich nach entgegengesetzter Richtung gewendet sind und dabei in gewissem Sinne parallel liegen, erstreckt sich der Schwanz des Drachens der Länge nach mitten zwischen ihnen hin- 3

τέταται· ἡ δὲ σπεῖρα τὴν μὲν Μικρὰν Ἄρκτον περιλαμβάνει, τῆς δὲ Μεγάλης πολὺ κεχώρισται. διὰ τὴν αὐτὴν δὲ αἰτίαν καὶ τὸ „ἀμφί τ' ἐαγὼς" ἡμαρτημένως λέγεται· συνέβαινε γὰρ ἂν τοῦτο, εἰ ἐξ ἑκατέρου 4 μέρους τῆς σπείρας ἀμφότεραι ἔκειντο αἱ Ἄρκτοι. ἔτι 5 δὲ ἀγνοεῖ περὶ τοῦ Δράκοντος λέγων οὕτως·

58 λοξὸν δ' ἐστὶ κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
ἄκρην εἰς Ἑλίκης οὐρήν, μάλα δ' ἐστὶ κατ' ἰθὺ
καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.

οὐ γὰρ ὁ δεξιὸς κρόταφος, ἀλλ' ὁ ἀριστερὸς ἐπ' εὐθείας 10 ἐστὶ τῇ γλώσσῃ τοῦ Ὄφεως καὶ τῇ ἄκρᾳ οὐρᾷ τῆς 5 Μεγάλης Ἄρκτου. τὸ μὲν γὰρ λέγειν, ὅτι ἀντεστραμμένην τὴν κεφαλὴν τοῦ Δράκοντος ὑποτίθεται, καὶ οὐχὶ εἰς τὰ ἐντὸς τοῦ κόσμου ἐπεστραμμένην, καθάπερ φησὶν ὁ Ἄτταλος, τελέως ἐστὶν ἀπίθανον. ἅπαντα γὰρ 15 τὰ ἄστρα ἠστέρισται πρὸς τὴν ἡμετέραν θεωρίαν καὶ ὡς ἂν πρὸς ἡμᾶς ἐστραμμένα, εἰ μή τι κατάγραφον 6 αὐτῶν ἐστι. φανερὸν δὲ τοῦτο ποιεῖ καὶ ὁ Ἄρατος διὰ πλειόνων· ἐφ' ὧν γὰρ δεξιὸν ἢ ἀριστερὸν μέρος ἄστρου διασαφεῖ, ἐπὶ πάντων συμφωνεῖ τῇ προειρημένῃ 20 ὑποθέσει. καὶ ἄλλως δὲ πλασματώδης ἐστὶν ἡ ὑπόθεσις καὶ ἡρμοσμένη. καὶ τούτῳ δὲ τῷ ἀγνοήματι βοηθήσει καὶ τῷ περὶ τὸν ἀριστερὸν πόδα τοῦ Ἐνγόνασι, περὶ οὗ προελθόντες ἐροῦμεν.

7 Περὶ δὲ τῆς θέσεως τῆς τοῦ Δράκοντος κεφαλῆς 25

---

3. ἀμφιτ' εαγως (sic) L (τ' ε in rasura), ἀμφιτ' ἐαγὼς P³, ἀμφι τ' εάγως M, ἀμφ' ἴτ' εαγως V. ‖ 5. σπείρας*| σπείρης vulg. ‖ 7. δ' ἔστι A hic et infra. ‖ 8. ἑλίκην B. ‖ 9. οὐρὴ B. ‖ 11. καὶ et οὐρᾷ om. B edd. | ἄκρᾳ τῇ οὐρᾷ scrib. esse vid. ‖ 14. ἀντεστραμμένην B. ‖ 15. πάντα A. ‖ 16. ἡμέρισται Vat., in ἠστέρισται corr. m. 2.; ἠμέρισται P³ in textu, corr. in marg.; ἠστερίσθαι Ur. ‖ 17. εἴ τι coni. *Pet.* | καταγράφον A. ‖ 22. πρὸς τούτῳ

durch; die Windung aber umfaſst nur den Kleinen Bären, von dem Groſsen ist sie durch einen beträchtlichen Zwischenraum getrennt. Aus demselben Grunde ist auch der Ausdruck (V. 46) „zweiseitig gewunden“ verfehlt; dies würde nämlich nur dann der Fall sein, wenn die Bären beide auf je einer Seite der Windung lägen.

Eine weitere irrtümliche Auffassung hinsichtlich des Drachens ist es, wenn er also sagt: 4

58 Schräg hält der Drachen den Kopf, als wollt' er sich neigend betrachten
Hinten den Schwanz des Bären; genau eine Linie bilden
Rachen und rechtshin liegende Schläfe mit Ende des Schwanzes.

Es liegt nämlich nicht die rechte Schläfe, sondern die linke (γ) auf einer geraden Linie mit der Zunge (μ) der Schlange und dem Schwanzende (η) des Groſsen Bären. Denn zu behaupten, daſs er den Kopf des Drachens in entgegengesetzter Richtung abgewendet annimmt, und nicht nach der Innenseite des Weltalls hin gekehrt, wie dies Attalos thut, ist durchaus unglaubhaft. Denn alle Sternbilder sind für unseren Standpunkt der Betrachtung und als uns zugekehrt aus Sternen zusammengestellt, es müſste denn das eine oder andere eine Profilansicht bieten. Diese Auffassung giebt auch Aratos mehrfach zu erkennen; wo er nämlich die rechte oder linke Seite eines Sternbildes ausdrücklich bezeichnet, stimmt seine Angabe überall mit der eben ausgesprochenen Annahme überein. Überhaupt ist diese Annahme auch vom künstlerischen Standpunkte durchaus gerechtfertigt und angemessen. Übrigens wird Attalos mit dieser verfehlten Auffassung auch das Versehen mit dem linken Fuſse des Knieenden zu rechtfertigen suchen, wovon wir weiter unten sprechen werden. 5 6

Was die Lage des Drachenkopfes anbelangt, so stimmen 7

δὲ τῷ A edd. | βοηθήσει*] βοηθήσαιεν A, βοηθήσειεν B edd. 23. τὸ περὶ τὸν B edd. ‖ 25. τῆς ante τοῦ Δρ. ad marg. add. LV.

οἱ μὲν περὶ τὸν Εὔδοξον καὶ Ἄρατον συμφώνως ἀποφαίνονται τῷ φαινομένῳ, ὁ δὲ Ἄτταλος διαφώνως. ὁ μὲν γὰρ Ἄρατος ἀκολουθῶν τῷ Εὐδόξῳ ἐπὶ τοῦ ἀεὶ φανεροῦ κύκλου φησὶν αὐτὴν φέρεσθαι λέγων οὕτως·

61 κείνη που κεφαλὴ τῇ νείσσεται, ἧχί περ ἄκραι 5
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.

ὁ δὲ Ἄτταλος μικρῷ νοτιωτέραν αὐτὴν εἶναί φησι τοῦ ἀεὶ φανεροῦ κύκλου, ὥστε αὐτὴν ὑπὸ τὸν ὁρίζοντα 8 βραχὺν γίνεσθαι χρόνον. ὅτι δὲ διαφωνεῖ πρὸς τὸ φαινόμενον ὁ Ἄτταλος, οὕτως ἂν ἐπιλογισθείη. ὁ μὲν 10 γὰρ ἐν ἄκρῳ τῷ στόματι τοῦ Δράκοντος ἀπέχει ⟨ἀπὸ⟩ τοῦ πόλου μοίρας λδʹ καὶ τρία πεμπτημόρια, ὁ δὲ νότιος αὐτοῦ ὀφθαλμὸς μοίρας λεʹ, ὁ δὲ νότιος κρόταφος μοίρας λζʹ. ὁ δὲ ἀεὶ φανερὸς κύκλος ἐν τοῖς περὶ Ἀθήνας τόποις καὶ ⟨ὅπου⟩ ὁ γνώμων ἐπίτριτός ἐστι 15 τῆς ἰσημερινῆς σκιᾶς, ἀπὸ τοῦ πόλου ἀπέχει περὶ μοίρας λζʹ. δῆλον οὖν ὅτι ἐν τῷ ἀεὶ φανερῷ τμήματι φέρεται ἡ κεφαλὴ τοῦ Δράκοντος, τὸν ἀριστερὸν κρόταφον μόνον ἔχουσα ἐπ' αὐτοῦ ⟨τοῦ κύκλου⟩, καὶ οὐχ, ὡς ὁ Ἄτταλός φησι, νοτιωτέρα οὖσα δύνει βραχὺν 20 χρόνον καὶ ἀνατέλλει.

9 Ἐπὶ δὲ τοῦ Ἐνγόνασι παρεωρακέναι μοι δοκοῦσιν ὅ τε Εὔδοξος καὶ ὁ Ἄρατος, ἀλλ' οὐ διημαρτηκέναι. εἰπόντες τὸν δεξιὸν πόδα ἐπὶ μέσης τῆς κεφαλῆς τοῦ Δράκοντος κεῖσθαι. ὁ μέντοι γε Ἄτταλος παρὰ τὸ 25 βούλημα τοῦ ποιητοῦ δοκεῖ μοι τὸ ἡμιστίχιον μετα-

---

1. τὸν om. B edd. ‖ 2. τὰ φαινόμενα B edd. | διαφωνεῖ B edd. 3. ἀκολουθων (sic) L, ἀκολούθων MV. | ἀεὶ om. B edd. 4. φέρεσθαι*] φαίνεσθαι vulg. ‖ 5. κείνη παρ' κεφαλῇ edd. που] παρ LP³V, παρακεφαλῇ M; γὰρ pro παρ' coni. Scal. τηνʹείσεται Vat., τηνίσεται P¹P², τῇ νείσεται LP³M; τῇ νήχεται

Eudoxos und Aratos in ihren Angaben mit der Wirklichkeit überein, während dies bei Attalos nicht der Fall ist. Aratos sagt nämlich im Anschlufs an Eudoxos, dafs er auf dem immer sichtbaren Kreise liege, indem er sich also ausdrückt:

61 Jenes, das Haupt, berühret die Stelle, wo Anfang und Ende
Sich von Nieder- und Aufgang mit einander vermischen.

Attalos dagegen behauptet, dafs er ein wenig südlicher liege als der immersichtbare Kreis, sodafs er eine kurze Zeit unter den Horizont sinke. Dafs aber Attalos mit der Wirklichkeit in Widerspruch steht, dürfte aus folgender Erörterung hervorgehen. Der Stern (μ) vorn am Maule des Drachens ist vom Pol $34\frac{3}{5}^0$ entfernt, das südliche Auge (β) 35^0, die südliche Schläfe (γ) 37^0. Der immer sichtbare Kreis ist in der Umgebung von Athen und überhaupt da, wo der Schattenzeiger zum Mittagschatten der Tag- und Nachtgleichen in dem Verhältnis von 4 : 3 steht, vom Pol etwa 37^0 entfernt.[2]) Folglich ist klar, dafs sich der Kopf des Drachens in dem Abschnitt der beständigen Sichtbarkeit bewegt, indem er nur mit der linken Schläfe auf der Peripherie ruht, und nicht, wie Attalos behauptet, eine kurze Zeit unter- und wieder aufgeht, weil er südlicher liege. 8

3. Hinsichtlich des Knieenden scheint mir sowohl bei Eudoxos wie auch bei Aratos ein blofses Versehen, nicht eine irrtümliche Auffassung vorzuliegen, wenn sie sagen, dafs der rechte Fufs mitten auf den Kopf des Drachens aufgesetzt sei. Attalos ändert den Halbvers meines Erachtens entschieden gegen die Absicht des 9

---

adnotat *Pet.* ‖ 6. *μίγονται* Vat., *μίσγ.* corr. m. 2. | *δύσις ἐστὶ καὶ* B. | *ἀνατολαὶ* AMV. | *ἀλλήλῃσι* B edd. ‖ 10. *ὁ* ante *Ἄττ.* om. A. ‖ 16. *καὶ ἀπὸ* B edd. ‖ 17. *ἀεὶ* transposui, *ἀεὶ ἐν τῷ* A edd., *ἀεὶ* om. B. | *τμήματι**] *τόπῳ* vulg.

τιθέναι γράφων οὕτως· „μέσσου δ' ἐφύπερθε καρήνου“ καὶ τὴν κεφαλὴν τοῦ Δράκοντος ἔξω τοῦ κόσμου στρέφων, ἵνα γένηται αὐτὸ τὸ δεξιὸν μέρος τῆς κεφαλῆς κατὰ τὸν πόδα. τά τε γὰρ ἄστρα πάντα εἰς τὸ ἐντὸς τοῦ κόσμου μέρος ἐπεστραμμένα, ὥς ἔφην, ἀστρο- 5 θετεῖται ὑπὸ πάντων καὶ ὑπ' αὐτοῦ τοῦ Ἀράτου, καὶ ἐν πᾶσι τοῖς βιβλίοις γράφεται·

69 μέσσῳ δ' ἐφύπερθε καρήνῳ
δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο ⟨Δράκοντος⟩.

10 πρὸς δὲ τούτῳ καὶ τὸν σχηματισμὸν ἡμῖν τοῦ Ἐνγόνασι 10 καὶ τὴν θέσιν διασαφεῖν βουλόμενος ὁ Ἄρατος εὐλόγως ἂν σημαίνοι καὶ ποῖος αὐτοῦ ποὺς κεῖται ἐπὶ τῆς τοῦ Δράκοντος κεφαλῆς· οὐ γὰρ ἄλλως παρατίθησι τὴν τοῦ Δράκοντος κεφαλήν, ἀλλ' ἵνα τῇ θέσει τοῦ Ἐνγόνασι παρακολουθῶμεν, ὅπερ καὶ ἐπὶ ἄλλων 15
11 πλειόνων ποιεῖ. καθάπερ καὶ ἐπ' αὐτοῦ τοῦ Ἐνγόνασι τὰ ἄλλα αὐτοῦ μέρη ⟨διασαφῶν⟩ φησι·

74 νώτῳ μὲν Στέφανος πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον.

καὶ ἔτι τῇ Λύρᾳ, φησί, 20

272 γούνατί οἱ σκαιῷ πελάει.

καὶ ὡς ἐπὶ τοῦ Περσέως·

254 ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
Πληϊάδες φορέονται.

---

1. μεσον AP³M. | ἐφ' ὕπερθεν A, ἐφ' ὕπερθε LP³V. ‖ 8. μέσῳ δ' ἐφ' ὕπερθε A (Vat. ε ex εν corr.) B; ἐφήπερθε Ur., corr. *Migne*. ‖ 10. πρὸς δὲ τούτῳ corr. *Pet.*, πρὸς δὲ τοῦτον A, πρὸς δὲ τοῦτο B edd. ‖ 11. εὐλόγοις A, ως ex οις corr. V. ‖ 13. ἄλλω MV. ‖ 15. ἐπ' ἄλλων A. ‖ 16. πλειόνων om. B. ‖ 18. κε-

Dichters, indem er schreibt: „und rechts auf die Mitte des „Kopfes“ und den Drachenkopf nach der Aufsenseite der Welt wendet, damit gerade die rechte Seite des Kopfes an den (dann nicht näher bezeichneten) Fufs komme. Denn die Sternbilder sind alle, wie gesagt, nach der Innenseite des Weltalls zugewendet aus Sternen zusammengestellt, sowohl nach der allgemeinen Auffassung, als auch nach der des Aratos selbst; auch steht in allen Handschriften geschrieben:

69 gerad' auf die Mitte des Kopfes
Setzt er die Spitze vom rechten Fufs dem geringelten Drachen.

Aufserdem dürfte Aratos, wo er uns Haltung und Lage des Knieenden genau beschreiben will, mit gutem Grunde auch angeben, welcher Fufs desselben auf den Drachenkopf aufgesetzt ist; denn nicht etwa nur so beiläufig erwähnt er den Drachenkopf, sondern damit wir die Stellung des Knieenden recht verstehen sollen, was er auch noch an anderen Stellen thut. So sagt er z. B. gleich bei dem Knieenden selbst, um die anderen Teile desselben genau zu bezeichnen: 10 11

74 Nah' ist unter dem Rücken die Krone; doch nahe dem Haupte
Siehst du das Haupt von dem Träger der Schlange.

Und ferner sagt er: der Leier

272 Kommt er nah' mit dem linken Knie.

Ähnlich bezüglich des Perseus:

254 Nahe sodann seinem Knie, dem linken, bewegen gedrängt sich
Alle Plejaden.

φαλὴ P², sine acc. LP³V. | *γέ μεν* A, *γε μιν* B ed. pr. | *ἄκρη* ALP³V. ‖ 19. *σκέπτετο* B. | *παρκεφαλὴν* P²B, *παρ' κεφ.* edd. | 21. *γουνάτιοι* LP³. ‖ 22. *ἐπὶ*] *ὑπὲρ* ed. pr. ‖ 23. *ἐπιγουνιδος* sine acc. LV. | *ἤλιθα* A.

καὶ πάλιν·

251 καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
πενθερίου δίφροιο.

καὶ ὡς ἐπὶ τοῦ Ὄρνιθός φησι·

279 κατὰ δεξιὰ χειρὸς 5
Κηφείης ταρσοῖο τὰ δεξιὰ πείρατα φαίνων.

καὶ ἐπ' ἄλλων δὲ πλειόνων τὰς παραθέσεις τῶν ἄστρων διασαφῶν σημαίνει, πότερον τὰ δεξιὰ ἢ τὰ ἀριστερὰ παράκειται.

12 Ὅτι δὲ παρόραμά ἐστι τοῦ Εὐδόξου καὶ τοῦ Ἀράτου 10 τὸ περὶ τὸν πόδα, καὶ οὐχ ἁμάρτημα, δῆλον γίνεται ἐκ τῶν λοιπῶν τῶν λεγομένων ὑφ' ἑκατέρου περὶ τοῦ Ἐνγόνασι. περὶ μὲν γὰρ τῆς Λύρας ὁ Ἄρατος λέγων

270 κὰδ δ' ἔθετο (φησὶν αὐτὴν) προπάροιθεν ἀπευθέος
εἰδώλοιο 15
οὐρανὸν εἰς ἀγαγών. τὸ δ' ἐπὶ σκελέεσσι πέτηλον
γούνατί οἱ σκαιῷ πελάει.

τὸ δὲ πρὸς τῇ Λύρᾳ σκέλος ἐστὶ κείμενον ἐπὶ τῆς τοῦ
13 Δράκοντος κεφαλῆς. πάλιν δὲ περὶ τῆς ἀνατολῆς τοῦ Ἐνγόνασι λέγων φησί· 20

612 μόνην δ' ἐπὶ Χηλαὶ ἄγουσι
δεξιτερὴν κνήμην αὐτῆς ἐπιγουνίδος ἄχρις
αἰεὶ γνὺξ αἰεὶ δὲ Λύρῃ παραπεπτηῶτος.

ἀλλ' ἡ πρὸς τῇ δύσει κνήμη ἐστὶν ἡ προανατέλλουσα, καὶ οὐκ ἔστιν αὕτη ἐπὶ τῆς κεφαλῆς τοῦ Δράκοντος. 25

---

2. δεξιτερῆ A, sine acc. L, δεξιτέρη V. | ἐπικλισμὸν LP³V. || 6. ταρσοὶ B. || 9. παράκεινται A. || 10. Ὅτι] ὅτε A. || 13. ὁ Ἄρατος λέγων om. B edd. || 14. καδ (sic) B edd., κατα (sic) A. | ἀπευθέος Ur., ἀπ' εὐθέος Vat. P¹LP³V ed. pr., ἀπ' εὐθέως P²M. || 16. εἰς ἀγ. corr. *Maass*, εἰσαγαγὼν A edd., εἰσανάγων B. |

Und ferner:

251 Und so streckt er die Rechte hinauf, wo sie thront auf dem Sessel,
Sie, die Mutter der Braut.

Ähnlich sagt er bezüglich des Schwanes:

279 zu der Rechten des Kepheus
Läfst er die Spitzen leuchten des rechtshinstreifenden Fittichs.

Auch noch an mehreren anderen Stellen, wo er die gegenseitige Lage der Sternbilder genau bezeichnen will, giebt er an, ob die rechten oder die linken Teile daranstofsen.

Dafs aber die Bezeichnung des Fufses auf einem blofsen Versehen, nicht auf einer irrtümlichen Auffassung des Eudoxos und des Aratos beruht, geht deutlich hervor aus den sonstigen Angaben, welche von beiden über den Knieenden gemacht werden. So heifst es von der Leier bei Aratos: 12

270 Sie dann stellt er dahin vor das unerforschliche Bildnis,
Hoch an den Himmel sie tragend; dieses, gestützt auf die Schenkel,
Kommt ihr nah' mit dem linken Knie.

Das Bein in der Nähe der Leier ist aber dasjenige, welches auf den Drachenkopf aufgesetzt ist. Weiter sagt er, wo von dem Aufgange des Knieenden die Rede ist: 13

612 zum Aufgang bringen die Scheren
Nur das rechtshinliegende Bein bis gerad' an den Schenkel
Des, der stets auf den Knieen und stets vor der Leier einherschwebt.

Nun ist aber das westwärts gelegene Bein dasjenige, welches zuerst aufgeht, und dieses steht nicht auf dem

ἐπισκελέεσσι LP³V, σκελέεσι Vat. ‖ 17. γουνάτιοι P³, sine acc. L. | 20. λέγων om. B. ‖ 21. μόνον P¹P². | ἐπιχηλαὶ LP³V. ‖ 22. δεξιτερὰν edd. | ἐπὶ γουνίδος A. ‖ 23. ἀεὶ γνυξαιηδε B (δὲ LM). ‖ 24. ἄλλη B edd. | ἔστιν Vat. P¹ ed. pr. | παρανατέλλουσα LMV.

14 δῆλον οὖν ὅτι ἐκείνην ἀριστερὰν λέγει. συμφωνῶν δὲ τούτοις καὶ ἐπὶ τῆς ἀνατολῆς τοῦ Λέοντός φησιν·

591 αὐτὰρ ὅ γε γνὺξ
ἥμενος ἄλλα μὲν ἤδη, ἀτὰρ γόνυ καὶ πόδα λαιὸν
οὔπω κυμαίνοντος ὑποστρέφει Ὠκεανοῖο. 5

φανερὸν οὖν ἐκ πάντων γίνεται, διότι τὸ ἀριστερὸν σκέλος φησὶ καθήκειν ἐπὶ τὴν τοῦ Δράκοντος κεφαλήν.

15 Ἑξῆς δὲ περὶ τοῦ Ὀφιούχου λέγων ἰδίως ὁ Ἄρατος ὀρθόν φησι κεῖσθαι αὐτὸν τῇ θέσει βεβηκότα ἔν τε τοῖς ὀφθαλμοῖς τοῦ Σκορπίου καὶ τῷ στήθει. τῇ δὲ ἀρι- 10 στερᾷ μόνον κνήμῃ βέβηκεν ἀποτεταμένῃ, μεταξὺ κειμένῃ τοῦ τε μετώπου καὶ τοῦ στήθους τοῦ Σκορπίου· τὸ δὲ δεξιὸν σκέλος ἔχει συνεσταλμένον. οὐδὲ ὁ Εὔδοξος δὲ διασαφεῖ, ὅτι ἐστὶν ὀρθός· τὸν γὰρ δεξιὸν πόδα αὐτοῦ ὑπὲρ τὸ σῶμα κεῖσθαί φησι τοῦ Σκορπίου, 15 ὡς καὶ ἔχει τῇ ἀληθείᾳ, καὶ οὐκ ἐπὶ τοῦ στήθους.

16 Δοκεῖ δέ μοι καὶ περὶ τῶν ἐν ταῖς χερσὶ τοῦ Ὀφιούχου ἀστέρων κατὰ τὸ μέγεθος αὐτῶν ἀγνοεῖν. τοὺς γὰρ ἐν τοῖς ὤμοις τοῦ Ὀφιούχου φήσας λαμπροὺς εἶναι, ὥστε καὶ ἐν πανσελήνῳ ἂν θεωρεῖσθαι, ἐπιφέρει· 20

79 ἀτὰρ χέρες οὐ μάλ' ἔ σαι·
λεπτὴ γὰρ ⟨καὶ⟩ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.

17 ἀλλ' οἱ ἐν ταῖς χερσὶ τοῦ Ὀφιούχου ἀστέρες κοινοί εἰσι καὶ τοῦ Ὄφεως, καθάπερ καὶ αὐτὸς ὁ Ἄρατος λέγει·

82 ἀμφότεραι δ' Ὄφιος πεπονείαται. 25

---

4. ἀλλὰ AV ed. pr., sine acc. L. ‖ 11. ἀποτεταμένη corr. *Maass*, ἀποτετμημένη vulg. ‖ 13. συνεσταμένον Vat., λ suprascr. m. 2. | ὁ δὲ Εὔδ. οὐ διασ. leg. esse videtur. ‖ 14. ἔστιν AP[3] edd. ‖ 15. φησὶ κεῖσθαι B. ‖ 18. αὐτῶν] αὐτοῦ B. ‖ 20. ἂν om. B edd. ‖ 21. χερσ' οὐ B. | μάλ' ἔϊσαι*] μάλ' ἀίσαι A, μάλ'

Drachenkopfe. Folglich ist klar, daſs er unter dem letzteren das linke versteht. Hiermit stimmt auch überein, wenn er gelegentlich des Aufganges des Löwen sagt: 14

591 doch der auf den Knieen
Ruhende dreht das übrige schon, nur das Knie mit dem linken
Fuſse noch nicht hinab in des Oceans wogende Fluten.

Es geht demnach aus allem deutlich hervor, daſs er das linke Bein in Beziehung zu dem Drachenkopf gesetzt wissen will.

4. Weiterhin, wo Aratos von dem Schlangenträger spricht, behauptet er selbständig (V. 83 ff.), daſs derselbe vermöge seiner Lage aufrecht stehe, indem er auf den Augen und auf dem Bruststück des Skorpions ruhe. Indessen steht er nur mit dem linken Beine so, daſs dieses ausgestreckt ist und zwischen Stirn und Bruststück des Skorpions zu liegen kommt; das rechte Bein hält er gekrümmt. Eudoxos hebt nicht ausdrücklich hervor, daſs er aufrecht stehe; er sagt nur, daſs der rechte Fuſs über dem Leibe des Skorpions liege, wie es sich auch in Wirklichkeit verhält, und nicht auf dem Bruststück. 15

Auch über die Sterne ($\varepsilon\,\delta$, $\nu\,\tau$) in den Händen des Schlangenträgers scheint er mir eine falsche Anschauung hinsichtlich ihrer Gröſse zu haben. Nachdem er nämlich gesagt hat (V. 77 ff.), daſs die Sterne ($\beta\,\gamma$, $\iota\,\varkappa$) in den Schultern des Schlangenträgers so hell seien, daſs sie sogar bei Vollmond sichtbar sein würden, fährt er fort: 16

79 doch nicht gleichhell sind die Hände;
Denn nur dürftiger Glanz hat sich über beide ergossen.

Allein die Sterne in den Händen des Schlangenträgers sind auch der Schlange gemeinsam, wie Aratos selbst sagt: 17

82 Beide halten die Schlange gefaſst.

εἴσαι B, *μάλ' εἴσαι* ed. pr., *μάλ' ἔϊσαι* Ur., *μάλα ἶσαι* ed. *Maass.* ‖ 22. ⟨*καὶ*⟩ addit *Voss.* | *τῇ* ante *καὶ* om. A. | *ἐξεπιδέδρομεν* Ur. | 24. *ὁ αὐτὸς* B edd. ‖ 25 *ἀμφότεροι* B edd. | *ὄφεως* A.

οἱ δ' ἐν τῷ Ὄφει ἀστέρες, ὃν ἔχει ὁ Ὀφιοῦχος, οὐ λειπόμενοί εἰσι τῇ λαμπρότητι τῶν ἐν τοῖς ὤμοις [πολλῷ δὲ λαμπρότεροι οἱ ἐν τοῖς ὤμοις]. διὸ καὶ ἐπιστήσειεν ἄν τις, πῶς καὶ ὁ Ἄτταλός φησιν αὐτοὺς ⟨μὴ⟩ ἱκανῶς λαμπροὺς εἶναι. 5

18 *Ἑξῆς δὲ περὶ τῶν Χηλῶν ὁ Ἄρατος λέγει·*

90 *ἀλλ' αἱ μὲν φαέων ἐπιδευέες (ἢ ἐπιμεμφέες), οὐδὲν ἀγαυαί.*

φησὶ δὲ ὁ Ἄτταλος μὴ διὰ τὸ μικροὺς εἶναι τοὺς ἐν ταῖς Χηλαῖς ἀστέρας λέγειν τὸν Ἄρατον „φαέων ἐπιμεμφέας" αὐτὰς εἶναι, ἀλλὰ διὰ τὸ τέσσαρας μόνον εἶναι τοὺς πάντας, οὓς μὴ συμπληροῦν τὴν ὁμοιότητα αὐτῶν· τὸ δὲ „μηδὲν ἀγαυὰς" λέγειν αὐτὸν διὰ τὸ μηδὲν ὁμοίας αὐτὰς ὑπάρχειν. 19 *οὐ δοκεῖ δέ μοι διὰ τοῦτο λέγειν αὐτὰς „φαέων ἐπιμεμφέας" καὶ „μηδὲν ἀγαυάς", ἀλλ' ὡς ἂν μὴ λαμπράς· καὶ γὰρ ἐν ταῖς Συνανατολαῖς οὕτως λέγει περὶ αὐτῶν·* 10 15

607 *οὐδ' ἂν ἐπερχόμεναι Χηλαὶ καὶ λεπτὰ φάουσαι*
ἄφραστοι παρίοιεν.

20 *ἐπιφέρει γοῦν εὐθέως·* 20

608 *ἐπεὶ μέγα σῆμα Βοώτης*
ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο·

ὡς ἂν ἐκ τοῦ Ἀρκτούρου ἡμῶν δυναμένων σημειώσασθαι τὰς Χηλάς, καθ' αὐτὰς δὲ μὴ ῥᾳδίως διὰ τὴν μικρότητα αὐτῶν, ὡς ὑπολαμβάνει· τὰ γὰρ ἀμαυροὺς ἀστέρας 25

---

1. *τῷ ἰόφει* MV (*τῷιόφει* L). | *ὃν ἔχει**] *ὧν ἔχεται* A edd., *ὧν ἔχει* B. ‖ 3. [*πολλῷ — ὤμοις*] glossema esse apparet. | *καὶ διὸ ἐπιστ.* P¹P², *διὸ κατεπιστήσειεν* B ed. pr., *διὸ καὶ ἀπορήσειεν* coni. *Maass.* ‖ 7. *ἄλλοι μὲν* B. | *μὲν* om. ed. pr. ‖ 10. *λέγειν* om. B. ‖ 11. *δ' μόνους* LP³V edd., *δ' μόνον* M, *τέσσαρα μόνον* P². ‖

Die Sterne in der Schlange, welche der Schlangenträger hält, stehen aber an Helligkeit den Sternen in den Schultern keineswegs nach.[4]) Deshalb mufs man wohl auch daran Anstofs nehmen, wie Attalos gleichfalls behaupten kann, dafs sie nicht besonders hell seien.

5. Weiterhin sagt Aratos über die Scheren: 18

90 Diese jedoch des Lichtes ermangelnd (oder bedürftig)
und arm an Bestrahlung.

Attalos meint, nicht deshalb, weil die Sterne in den Scheren klein seien, nenne Aratos letztere „des Lichtes „ermangelnd“, sondern deshalb, weil es im ganzen nur vier seien, welche kein genügend deutliches Bild des Gegenstandes abgäben; „arm an Bestrahlung“ aber nenne er sie, weil sie ganz und gar nicht von gleicher Gröfse seien. Deswegen nennt er sie aber meines Erachtens gewifs nicht 19 „des Lichtes ermangelnd und arm an Bestrahlung“, sondern weil er sie nicht hell findet; denn in den „Gleichzeitigen Aufgängen“ spricht er folgendermafsen von ihnen:

607 Nicht auch der kommenden Scheren Gestirn, wie
dürftig es leuchtet,
Geht leicht unbemerkt hin.

Im unmittelbaren Anschlufs hieran fährt er sogleich fort: 20

608 denn ein deutliches Zeichen, Bootes,
Steigt in ganzer Gröfse empor, bestrahlt von Arkturos;

als ob wir uns am Arktur ein Erkennungszeichen für die Scheren abnehmen könnten, während sie für sich allein wegen der Kleinheit ihrer Sterne, wie er annimmt, nicht leicht auffindbar seien. Pflegt er ja doch Sternbilder,

---

13. *τὸ δὲ μηδὲν αὐτὰς* A, *τὸν δὲ μηδένα αὐγὰς* L, sed corr. manus rec., *τὸν δὲ μηδὲν ἀγανὰς* M; *τῷ δὲ μ. ἀγ.* coni. *Scal.* 14. *μὴ δὲ ὁμοίας* B edd. | *δὲ*] *δὴ* Vat. edd. ‖ 15. *μηδὲν αὐγὰς* LMV. ‖ 16. *καὶ γὰρ* om. B. ‖ 22. *ἀθρόος* ex *-ως* in scrib. corr. Vat., *ἀθρόως* P^1P^2. | *βεβλημένος* A. ‖ 24. *ῥαδίως* AMV edd., *ῥαιδίως* LP^3. ‖ 25. *ὑπολαμβάνει· τὰ γὰρ**] *ὑπολαμβανεῖται* A, *ὑπολαμβάνει τε* B edd.; *ὑπολαμβάνειν τὰ* et tum *εἰθίσθαι* coni. *Pet.*

ἔχοντα τῶν ἄστρων εἴθισται καλεῖν ὡς ἐπὶ πολὺ „λεπτὰ“ καὶ „οὐδὲν ἀγαυά“.

Cap. V.

1 Ἐν δὲ τοῖς ἑξῆς περὶ τῆς Ἄρκτου παντελῶς δοκοῦσί μοι ἀγνοεῖν, ὁ μὲν Εὔδοξος οὕτως λέγων· „ὑπὸ δὲ 5 „τὴν κεφαλὴν τῆς Μεγάλης Ἄρκτου οἱ Δίδυμοι κεῖνται, „κατὰ μέσον δὲ ὁ Καρκίνος, ὑπὸ δὲ τοὺς ὀπισθίους „πόδας ὁ Λέων.“ ὁ δὲ Ἄρατος·

147 κρατὶ δέ οἱ Δίδυμοι, μέσσῃ δ' ὕπο Καρκίνος ἐστί,
ποσσὶ δ' ὀπισθοτέροισι Λέων ὕπο καλὰ φαείνει. 10

οἷς ὅ τε Ἄτταλος καὶ οἱ λοιποὶ πάντες συνεπιγράφονται.
2 ὅτι δὲ ἀγνοοῦσιν, ἐκ τούτων ἐστὶ φανερόν. ἡ μὲν γὰρ κεφαλὴ τῆς Μεγάλης Ἄρκτου κατὰ τοὺς προειρημένους ἄνδρας ἐστὶν ὁ βορειότερος ἀστὴρ τῶν δύο τῶν ἡγουμένων ἐν τῷ πλινθίῳ, ἐπὶ δὲ τῶν ἐμπροσθίων ποδῶν 15
3 κεῖται ὁ νοτιώτερος τῶν αὐτῶν ἀστέρων. ὅτι μὲν γὰρ ὁ προειρημένος ἀστὴρ κατ' αὐτοὺς ἐπὶ τῆς κεφαλῆς κεῖται, φανερὸν τοῦτο ποιοῦσιν ἔκ [τε] τοῦ λέγειν, τὸν ἐν ἄκρᾳ τῇ οὐρᾷ τοῦ Δράκοντος ἀστέρα κεῖσθαι κατὰ
4 τὴν κεφαλὴν τῆς Ἄρκτου. οὐκ ἄλλος γὰρ κεῖται ἀστὴρ 20 κατὰ τὸν ἐν ἄκρᾳ τῇ οὐρᾷ τοῦ Δράκοντος, ἀλλ' ὁ βορειότερος τῶν ἡγουμένων ἐν τῷ πλινθίῳ. ὁ μὲν γὰρ ἐν ἄκρᾳ τῇ οὐρᾷ τοῦ Δράκοντος ἐπέχει ὡς κατὰ παράλληλον κύκλον τοῦ Λέοντος μοίρας γ', ὁ δὲ εἰρημένος ἀστὴρ ἐν τῷ πλινθίῳ ἐπέχει τοῦ Λέοντος μικρῷ 25
5 ἔλασσον τῶν γ' μοιρῶν. ὅτι δὲ ἐπὶ τῶν ἐμπροσθίων ποδῶν κεῖται ὁ νοτιώτερος τῶν ἡγουμένων ἐν τῷ πλινθίῳ, φανερὸν ποιεῖ ὁ μὲν Εὔδοξος λέγων οὕτως·

1. ἔχων τὰ τῶν A. ‖ 5. οὔτω edd. ‖ 7. μέσην A. ‖ 9. μέση AP³M. | ὕπο corr. *Maass* hic et infra, ὑπὸ vulg. ‖ 14. ἔστιν

welche lichtschwache Sterne enthalten, meistens „dürftig“ und „arm an Bestrahlung“ zu nennen.

6. Im folgenden scheinen sie mir hinsichtlich des Bären in einem gründlichen Irrtume befangen zu sein, und zwar Eudoxos, wenn er also sagt: „Unter dem Kopfe „des Grofsen Bären liegen die Zwillinge, unter der Mitte „der Krebs, und unter den Hinterfüfsen der Löwe.“ Aratos aber sagt: V. 1

147 Unter dem Kopfe da liegen die Zwillinge, unter der Mitte
Aber der Krebs, und unter den hinteren Tatzen der Löwe.

Diese Angaben lassen Attalos und nicht minder alle übrigen Erklärer ohne jede Einwendung gelten. Dafs sie aber in 2 einer irrtümlichen Auffassung begriffen sind, ergiebt sich aus folgender Erörterung. Der Kopf des Grofsen Bären ist nach der Annahme der obengenannten Männer der nördlichere Stern (α) von den beiden vorangehenden ($\alpha\,\beta$) in dem Viereck, während in den Vorderfüfsen der südlichere (β) ebendieser Sterne steht. Dafs nämlich der 3 erstgenannte Stern nach ihrer Auffassung im Kopfe steht, dies geht aus der Angabe hervor, dafs der Stern (λ) am Schwanzende des Drachens in der Nähe von dem Kopfe des Bären liege. Denn es steht kein anderer Stern in 4 der Nähe des Sternes am Schwanzende des Drachens, als der nördlichere der vorangehenden in dem Viereck. Der am Schwanzende des Drachens liegt nämlich in seinem Parallelkreise auf dem Meridian von ♌ 3^0, der genannte Stern (α) des Vierecks aber nur wenig vor diesem Meridian. Dafs aber der südlichere (β) der vorangehenden in 5 dem Viereck in den Vorderfüfsen steht, giebt Eudoxos mit folgenden Worten deutlich zu verstehen: „Vor den

---

Vat. P[1] edd., ἐστιν B. || 15. τῷ om. A. || 21. ἄλλο A (P[2] corr. m. 2).

„πρὸ δὲ τῶν ἐμπροσθίων ποδῶν τῆς Ἄρκτου ἀστὴρ „ἐστι λαμπρός.“ ὁ δὲ Ἄρατος·

143 οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε
εἷς μὲν ὑπωμαίων, εἷς δ' ἰξυόθεν κατιόντων.

6 τοῦ γὰρ νοτιωτέρου τῶν ἡγουμένων ἐν τῷ πλινθίῳ 5 εἷς μόνος προηγεῖται λαμπρὸς ἀστήρ, ὁ νῦν ἐν τοῖς ἐμπροσθίοις σκέλεσι δεικνύμενος. καθόλου τε οἱ ἀρχαῖοι πάντες τὴν Ἄρκτον ἐκ τῶν ἑπτὰ μόνων ἀστέ-
7 ρων διετύπουν. φανερὸν δὲ μᾶλλον γίνεται τὸ λεγόμενον ὑφ' ἡμῶν ἐπὶ τῆς Μικρᾶς Ἄρκτου. ὁμολογου- 10 μένως γὰρ ἐπ' ἐκείνης ἥ τε κεφαλὴ καὶ οἱ πόδες ἐν τοῖς τέσσαρσιν ὑπ' αὐτῶν τίθενται τοῖς τὸ πλινθίον περιέχουσιν· ἄλλοι γὰρ αὐτοῖς ἐκφανεῖς οὐ παράκεινται, καθάπερ τῷ μεγάλῳ πλινθίῳ, ὥστε συσχηματίσαι τὴν κεφαλὴν αὐτῆς καὶ τοὺς πόδας περιλαμβανομένους ὑπὸ 15 τῆς σπείρας τοῦ Δράκοντος, ὥς φησι·

52 σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτὴν
εἰλεῖται κεφαλὴν καί οἱ ποδὸς ἔρχεται ἄχρις.

8 Τούτων δ' οὕτως ἐχόντων, πῶς ἐστι δυνατὸν ὑπὸ τὴν Ἄρκτον τούς τε Διδύμους καὶ τὸν Καρκίνον κεῖσθαι, 20 εἴπερ ἥ τε κεφαλὴ καὶ οἱ ἐμπρόσθιοι πόδες αὐτῆς κατὰ
9 τὴν γʹ τοῦ Λέοντος κεῖνται μοῖραν; δεῖ οὖν ὑπὸ μὲν τὴν Ἄρκτον τὸν Λέοντα μόνον τετάχθαι· ὁ γὰρ ἐν τοῖς ὀπισθίοις αὐτῆς ποσίν, ἐφ' ὧν ἐστιν ὁ νοτιώτερος τῶν ἑπομένων ἐν τῷ πλινθίῳ, τοῦ Λέοντος ἐπέχει 25
10 ἔλασσον τῶν κεʹ μοιρῶν. τοῖς δ' ὅλοις, εἴπερ προέκειτο

---

3. οιόσοιπρὸ (sic) LP³V, οἱόσοιπρο πρὸ M, οἷος οἱ πρὸ ed. pr. ‖ 4. ὑπωμαίων corr. *Maass*, ὑπ' ὠμ. vulg. ‖ 14. ad συσχημ. in marg. εὐ corr. M, ad εὐσχημ. in marg. σῦ corr. V. ‖ 16. σπείρας*] σπείρης vulg. ‖ 19. τούτου δ' οὕτως ἔχοντος B edd. |

„Vorderfüſsen des Bären steht ein heller Stern.“ Aratos aber sagt:

143 So steht ihm vor den Füſsen ein Stern, ein schöner und groſser,
Vor den vorderen einer, den Hinterfüſsen ein andrer.

Vor dem südlichen (β) der vorangehenden in dem Viereck 6 steht nämlich nur ein einziger heller Stern (ϑ), welcher heutzutage in die Vorderbeine gesetzt wird. Überhaupt bildeten die alten Astronomen alle den Bären nur aus den bekannten sieben Sternen. Noch deutlicher stellt 7 sich die Richtigkeit dieser unserer Behauptung an dem Kleinen Bären heraus. Bei diesem werden zweifellos Kopf und Füſse von ihnen in die vier Sterne ($\beta\ \gamma\ \eta\ \zeta$), welche das Viereck bilden, gesetzt; denn andere helle Sterne liegen nicht in der Nähe derselben, wie bei dem groſsen Viereck; daher konnten sie Kopf und Füſse dieses Bären in eine Konstellation bringen, bei welcher sie von der Windung des Drachens umfaſst werden, wie er sagt:

52 Während der kleinere Bär in der Windung den Kopf hat; es geht dann
Gleich beim Kopfe gekrümmt, der geschlängelte Leib bis zum Fuſse.

Wie ist es unter diesen Verhältnissen möglich, daſs 8 unter dem Bären die Zwillinge und der Krebs liegen, wo doch Kopf und Vorderfüſse etwa auf dem Meridian von ♌ 3° liegen? Man darf demnach unter den Bären nur 9 den Löwen gesetzt annehmen; denn der Stern in den Hinterfüſsen des ersteren, in welchen der südlichere (γ) der nachfolgenden in dem Viereck steht, liegt beinahe schon auf dem Meridian von ♌ 25°. Unter das ganze 10 Sternbild aber muſste man, wenn man sich überhaupt die

πῶς ἔτι Vat. P[1], πῶς ἔστι P[2]. ‖ 21. αὐτῆς om. B edd. ‖ 23. ὁ γὰρ corr. *Pet.*, οἱ γὰρ ALV edd., οὐ | οἱ γὰρ P[3], οὐ γὰρ M. | 26. εἴπερ] οἵπερ Vat., οἵπερ P[1]P[2].

σημῆναί τινα ζῴδια καθ' ὅλην τὴν Ἄρκτον, ἔδει τὴν Παρθένον ὑπ' αὐτὴν τάξαι, καὶ νὴ Δία, μέρος τῶν Χηλῶν· ὁ γὰρ ἐν ἄκρᾳ τῇ οὐρᾷ τῆς Ἄρκτου, ὅς ἐστιν ἔσχατος τῶν πρὸς ἀνατολὰς τῶν ἑπτά, κατὰ παράλληλον
11 *τῷ ἰσημερινῷ κύκλον ἐπέχει Χηλῶν μοίρας δ'. λέγω δὲ* 5
ὡς τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων ἐν ταῖς ἀρχαῖς τῶν ζῳδίων ὑπαρχόντων. εἰ μέντοι γε τὰ εἰρημένα ⟨σημεῖα⟩ κατὰ μέσα τὰ ζῴδια κεῖται, ὡς Εὔδοξός φησιν, ὑπὸ μὲν τοὺς ὀπισθίους πόδας τῆς Ἄρκτου οὐ τὸν Λέοντα ἔδει τιθέναι, ἀλλὰ τὴν Παρθένον. ὁ μὲν 10
γὰρ νοτιώτερος τῶν ἑπομένων ἐν τῷ πλινθίῳ ἐπέχει κατὰ τὴν προειρημένην διαίρεσιν τοῦ ζῳδιακοῦ τῆς Παρθένου περὶ μοίρας ι', ὁ δὲ βορειότερος τῆς Παρθένου
12 *περὶ μοίρας ιϛ'. κατὰ δὲ τὴν κεφαλὴν καὶ τοὺς ἐμπροσθίους πόδας ἔδει τεθεικέναι τὸν Λέοντα· οἱ γὰρ* 15
ἡγούμενοι τῶν ἐν τῷ πλινθίῳ ἐφέξουσι κατὰ τὴν
13 *προειρημένην διαίρεσιν Λέοντος μοίρας ιη'. δῆλον δὲ ἐκ τῶν εἰρημένων, [καὶ] διότι ὑφ' ὅλην τὴν Ἄρκτον ⟨καὶ⟩ κατὰ τὸν Εὔδοξον δεῖ κεῖσθαι [τὸν Καρκίνον καὶ] τὸν Λέοντα καὶ τὴν Παρθένον καὶ τὰς Χηλάς·* 20
ὁ γὰρ ἐν ἄκρᾳ τῇ οὐρᾷ τῆς Ἄρκτου ἐπέχει κατὰ τὴν αὐτὴν διαίρεσιν τοῦ ζῳδιακοῦ Χηλῶν περὶ μοίρας ιθ'.
14 *Πάλιν δὲ ὁ Ἄρατος περὶ τοῦ Ἡνιόχου λέγων ἐπιφέρει ταυτί·*

177 *ἀλλ' αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο* 25
εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών.

διαφωνεῖν οὖν μοι δοκεῖ πρὸς τὰ φαινόμενα καὶ ἐν τούτοις· τοῦ γὰρ Ἡνιόχου οἱ πόδες μόνον ἅμα τῷ Ταύρῳ

---

1. *σημᾶναι* B. ‖ 2. *νὴ διὰ* edd., corr. *Migne*. ‖ 4. *καὶ τὰ παράλλ.* A, *καταπαράλλ.* LP³. ‖ 5. *κύκλον**] *κύκλῳ* vulg. | *μοίρας* abhinc saepius *μοῖ* abbr. A. ‖ 11. *πληνθίῳ* LMV hic et infra. ‖

Aufgabe gestellt hatte, gewisse Zeichen des Tierkreises in der ganzen Ausdehnung des Bären namhaft zu machen, die Jungfrau setzen und sogar, was man kaum für möglich hält, noch einen Teil der Scheren; denn der Stern (η) am Schwanzende des Bären, welcher der letzte von den sieben nach Osten zu ist, liegt in seinem Parallelkreise zum Äquator auf dem Meridian von ♎ 4^0. Ich nehme 11 hierbei die Punkte der Wenden und der Tag- und Nachtgleichen als in die Anfänge der Zeichen gesetzt an. Wenn jedoch die besagten Punkte in der Mitte der Zeichen liegen, wie Eudoxos annimmt, so durfte man unter die Hinterfüſse des Bären nicht den Löwen setzen, sondern die Jungfrau; denn der südlichere Stern (γ) der nachfolgenden in dem Viereck liegt bei der letzterwähnten Teilung der Ekliptik auf dem Meridian von ♍ 10^0, der nördlichere (δ) auf dem von ♍ 16^0. Unter den Kopf 12 und die Vorderfüſse aber muſste man den Löwen setzen; denn die vorangehenden (α β) von den Sternen des Vierecks werden bei der letztgenannten Teilung auf den Meridian von ♌ 18^0 zu liegen kommen. Aus dem gesagten 13 geht hervor, daſs unter dem ganzen Sternbilde des Bären auch nach Eudoxos der Löwe, die Jungfrau und die Scheren liegen müſsten. Denn der Stern (η) am Schwanzende des Bären liegt bei derselben Teilung auf dem Meridian von ♎ 19^0.[5])

7. Ferner macht Aratos, wo er über den Fuhrmann 14 spricht, folgende Bemerkung:

177 Doch ist immer der Stier viel eiliger als der Fuhrmann,
Gilt es unterzugehn, wiewohl er zugleich mit emporstieg.

Mit der Wirklichkeit scheint er mir allerdings auch hierin in Widerspruch zu stehen. Denn von dem Fuhrmann

---

13. *περὶ* om. B edd. ‖ 14. *καὶ* om. B edd. ‖ 15. *Λέοντα**] *καρκίνου* vulg., *παρθένου* coni. *Pet.* ‖ 17. *Λέοντος**] *καρκίνου* vulg. | *δὲ ἐκ* P¹P², *δ' ἐκ* Vat., *δὲ καὶ ἐκ* B edd. ‖ 23. *δ' ὁ* edd. | *λέγει ἐπιφέρων οὕτως·* B. ‖ 25. *ἀεὶ* MV. ‖ 26. *ομιλισίηι* corr. in *ομηλισίηι* L, *ομηλισίῃ* MV, *ὁμηλισίηᾳ* P³. | *περανελθὼν* P³V.

συναναφέρονται, τὸ δὲ λοιπὸν αὐτοῦ σῶμα τοῖς Ἰχθύσι
15 καὶ τῷ Κριῷ συνανατέλλει. καὶ αὐτὸς δὲ ἐν τοῖς ἑξῆς φησιν·

718 ἀλλ' Ἔριφοι λαιοῦ τε θέναρ ποδὸς Αἰγὶ σὺν αὐτῇ
Ταύρῳ συμφορέονται.

ἀλλ' ὅσα λέγει Ταύρῳ συναναφέρεσθαι, ταῦτα κατ' 5
αὐτὸν ἅμα τῷ Κριῷ ἀνατέλλει. ἐπὶ πάντων γὰρ τῶν
ἄστρων ἐν ταῖς Συνανατολαῖς οὕτως σημαίνει, οἷον
τῆς ἀρχῆς τοῦ ζῳδίου ἐπὶ τῆς ἀνατολῆς οὔσης, τίνα
16 ἀνατεταλκότα ἐγγὺς τοῦ ὁρίζοντος φαίνεται. τοῦ μὲν
ἀριστεροῦ ποδὸς πολὺ προανατέλλει ὁ δεξιὸς ὦμος καὶ 10
ἡ δεξιὰ χείρ. πρόδηλον οὖν ὅτι καὶ κατ' αὐτὸν τὸν
Ἄρατον τὰ πρὸς τοῖς ποσὶ μόνον τῷ Ταύρῳ συνανατέλλει,
τὸ δὲ λοιπὸν σῶμα καὶ αὐτὸς ὁ ἀριστερὸς ποὺς τῷ
17 Κριῷ. καὶ μὴν οὐδὲ τοῦτ' ἔστι βοηθοῦν αὐτῷ, διότι
οὐ περὶ ὅλου λέγει, ἀλλ' ὅτι τῶν ἅμα αὐτῷ συνανα- 15
τειλάντων μερῶν τοῦ Ἡνιόχου πρότερος καταδύνει ὁ
Ταῦρος. ψεῦδος γάρ ἐστι καὶ τοῦτο· τὰ γὰρ πρὸς
τοῖς ποσὶν αὐτοῦ μέρη οὐχ οἷον ὑστερεῖ τοῦ Ταύρου,
ἀλλὰ καὶ προκαταδύνει. ἐγγίων γοῦν ὁ ἐν τῷ δεξιῷ
ποδὶ τοῦ Ἡνιόχου τῇ κζ' μοίρᾳ τοῦ Ταύρου συγκατα- 20
18 δύνει. εἴπερ οὖν ἀκολούθως τοῖς φαινομένοις ἔγραφεν,
ὡς ὁ Ἄτταλος ὑπολαμβάνει, πολλῷ βέλτιον ἦν καὶ
παραδοξότερον λέγειν τὸν δεξιὸν πόδα τοῦ Ἡνιόχου
ὕστερον ἀνατείλαντα πρότερον καταδύνειν, καὶ μὴ ἅμα
ἀνατείλαντα ὕστερον δύνειν. 25

1. συναναφαίνονται B edd. | ἰχθῦσι B. ‖ 4. ἀμφορέονται LP[3]M, ἀφορ. V. ‖ 5. συμφέρεσθαι B edd. | κατὰ τὸν αὐτὸν B. ‖ 7. ἐν om. B edd. | τὰς συνανατολὰς edd. ‖ 9. μὲν γὰρ ιστεροῦ LV, μὲν γαρι | στεροῦ P[3], μὲν γὰρ ἱστεροῦ M. ‖ 10. προσανατέλλει A. ‖ 14. τοῦτό ἐστιν B edd. ‖ 19. ἐγγίων*] ἐγγίω vulg. | ὁ*] τὰ vulg. ‖ 22. ὡς om. ed. pr. | ὁ ante Ἄττ. om. B. ‖ 23. τὸν δεξιὸν πόδα*] τὸν πόδα ἄκρον vulg. ‖ 24. ἀνατείλαντος B edd. ‖ 25. συνανατείλαντα B.

gehen nur die Füſse mit dem Stiere zugleich auf, während der übrige Teil seines Körpers bereits mit den Fischen und mit dem Widder aufgeht. Er selbst sagt hierüber 15 an einer später folgenden Stelle:

718 Nur links unten der Fuſs und die Zicklein mit der Capella
Gehn mit dem Stiere zugleich auf.

Alle Teile jedoch, von denen er hier sagt, daſs sie mit dem Stier aufgehen, diese gehen nach ihm schon mit dem Widder zugleich auf. Nämlich bei allen Sternbildern macht er in den „Gleichzeitigen Aufgängen" seine Angaben in dieser Weise, daſs er angiebt, welche Teile zu dem Zeitpunkt, wo thatsächlich erst der Anfang des betreffenden Zeichens im Aufgange begriffen ist, als bereits aufgegangen in der Nähe des Horizontes sichtbar sind. Viel früher 16 als der linke Fuſs (ι) geht die rechte Schulter (β) mit dem rechten Arm auf. Daher ist es ganz klar, daſs auch nach Aratos selbst nur die Teile in der Gegend der Füſse mit dem Stier aufgehen, der übrige Körper aber und selbst der linke Fuſs (ι) bereits mit dem Widder. Ja nicht 17 einmal diese Annahme vermag zu seiner Rechtfertigung beizutragen, daſs er nicht das ganze Sternbild meine, sondern nur sagen wolle, daſs der Stier eher untergehe, als die mit ihm gleichzeitig aufgegangenen T e i l e des Fuhrmanns; denn auch dies ist falsch. Nämlich die an den Füſsen gelegenen Teile desselben gehen nicht nur nicht später als der Stier unter, sondern sogar noch vor dessen völligem Untergange. Jedenfalls geht der Stern (β Tauri) im rechten Fuſse des Fuhrmanns ungefähr mit ♉ 27^0 unter.[6]) Hätte er also der Wirklichkeit entsprechend 18 geschrieben, wie Attalos annimmt, so wäre es viel richtiger und mit einer schärferen Pointe verbunden gewesen, zu sagen, daſs der rechte Fuſs des Fuhrmanns, obwohl später aufgegangen, doch früher untergehe; jedenfalls durfte er nicht sagen, daſs der Fuhrmann, obwohl gleichzeitig aufgegangen, doch später untergehe.

19 Ἑξῆς ⟨δὲ⟩ ἀγνοοῦσι πάντες περὶ τοῦ Κηφέως, ὅτι οἱ πόδες αὐτοῦ μετὰ τοῦ ἐν ἄκρᾳ τῇ οὐρᾷ τῆς Ἄρκτου τρίγωνον ἰσόπλευρον περιέχουσιν, ὡς καὶ ὁ Ἄρατός φησιν·

184 ἴση οἱ στάθμη νεάτης ἀποτείνεται Ἄρκτου 5
εἰς πόδας ἀμφοτέρους, ὅσση ποδὸς εἰς πόδα τείνει.

ἡ γὰρ μεταξὺ τῶν ποδῶν ἐλάσσων ἐστὶν ἑκατέρας τῶν λοιπῶν, ὥστε ἰσοσκελὲς τρίγωνον γίνεσθαι, καὶ μὴ ἰσόπλευρον.

20 ⟨Ἐν δὲ τοῖς ἑξῆς ἀγνοεῖ ὁ Ἄρατος, λέγων περὶ τῆς 10 Κασσιεπείας·

188 τοῦ δ' ἄρα δαιμονίη προκυλίνδεται·

κεῖται δὲ ἡ Κασσιέπεια πρὸς ἀνατολὰς τοῦ Κηφέως.⟩ καὶ ἐπὶ τῆς Λύρας δὲ ὁμοίως λέγει ὁ Ἄρατος·

270 κὰδ δ' ἔθετο (φησὶν αὐτὴν ὁ Ἑρμῆς) προπάροιθεν 15
ἀπευθέος εἰδώλοιο.

κεῖται δὲ πρὸς ἀνατολὰς τοῦ Ἐνγόνασι. καὶ μὴν οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὅτι τὰ πρὸς ἀνατολὰς κείμενα [ἀρρενικῶς] πρότερα καλεῖ ὁ Ἄρατος· τοὐναντίον γὰρ ἐν πολλοῖς τὰ πρὸς δύσιν μέρη πρότερα καλεῖ. εὐθέως 20 γοῦν τὰ περὶ τοῦ Κριοῦ εἰπὼν ἐπιφέρει τὰ περὶ τοὺς Ἰχθύας καί φησιν·

239 ⟨οἱ δ' ἄρ' ἔτι προτέρω, ἔτι δ' ἐν προβολῇσι νότοιο,
Ἰχθύες,⟩

οἳ καὶ προηγοῦνται αὐτοῦ. 25

---

7. ἡ γὰρ] εἰ γὰρ A. | ἔλασσόν ἐστιν A, ἐλάσσω ἐστιν B. ‖ 15. καδ' ἔθετο A, καδδέθετο V, sine acc. L. ‖ 16. ἀπ' εὐθέος AP³V, ἀπευθεος (sic) L, ἀπευθεοσειδόλοιο M. ‖ 18. τοῦτ' ἐστὶν P¹P², τοῦτό ἐστιν B edd. ‖ 19. [ἀρρεν.] del. esse censuit *Scal.* |

8. Weiterhin findet sich bei allen die irrtümliche Angabe über den Kepheus, daſs seine Füſse ($\gamma\, \varkappa$) mit dem Schwanzende (α) des Kleinen Bären ein gleichseitiges Dreieck bilden, wie auch Aratos sagt: 19

184 Gleich groſs dehnt sich an ihm die Linie vom Ende des Bären
Bis zu den Füſsen hinab, wie von Fuſs bis zu Fuſs sie sich ausdehnt.

Nämlich die Verbindungslinie zwischen den Füſsen ist kleiner, als jede der beiden anderen, sodaſs ein gleichschenkliges Dreieck entsteht, aber kein gleichseitiges.

9. ⟨Im folgenden macht Aratos eine irrtümliche Angabe, wenn er von der Kassiopeja sagt: 20

188 Vor ihm her da kreiset die Dulderin.

Sie liegt aber östlich vom Kepheus.⟩ Auch bezüglich der Leier macht Aratos eine ähnliche Angabe:

270 Sie dann stellt er dahin (nämlich Hermes) vor das unerforschliche Bildnis.

Sie liegt aber östlich vom Knieenden. Es läſst sich indessen keineswegs die Behauptung aufstellen, daſs Aratos die nach Osten zu gelegenen Teile [konsequent] „vorn" nenne; denn im Gegenteil nennt er an vielen Stellen die nach Westen zu gelegenen Teile „vorn". Nachdem er z. B. eben das Sternbild des Widders besprochen hat, knüpft er unmittelbar die Schilderung der Fische an und sagt:

239 Dort, noch weiter nach vorn, annoch im Gebiete des Südens,
Siehst du die Fische,

welche ihm auch in der That vorangehen.

προτέρα corr. *Scal.*, πρότερον vulg. ‖ 21. τὰ περὶ post ἐπιφ. dupl. edd., corr. *Migne*; om. P², sed in marg. add. ‖ 23. hunc versum excidisse iam vidit *Scal.*

21 *Ψευδῶς δὲ καὶ τοῦτο ὁ Ἄρατος περὶ τῆς Κασσιεπείας λέγει, ὅτι ἐστὶν*

188 *οὐ μάλα πολλὴ*
νυκτὶ φαεινομένη παμμήνιδι Κασσιέπεια·
οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν· 5

οἱ γὰρ πλεῖστοι τῶν ἐν αὐτῇ δεικνυμένων λαμπρότεροί εἰσι τῶν ἐν τοῖς ὤμοις τοῦ Ὀφιούχου, οὕς φησι καὶ ἐν τῇ πανσελήνῳ ἐκφανεῖς εἶναι, λέγων οὕτως·

77 *τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι*
εἴδονται· κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ 10
εἰσωποὶ τελέθοιεν·

22 *σχεδὸν δὲ καὶ τῶν ἐν τῇ Ἀνδρομέδᾳ λαμπρότεροί εἰσι, πλὴν τοῦ ἐν τῇ κεφαλῇ καὶ τοῦ ἑπομένου τῶν ἐν τῇ ζώνῃ, περὶ ἧς φησιν*

198 *οὔ σε μάλ' οἴω* 15
νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι·
τοίη οἱ κεφαλή, τοῖοι δέ οἱ ἀμφοτέρωθεν
ὦμοι καὶ πόδες ἀκρότατοι καὶ ζώματα πάντα.

Cap. VI.

1 *Πάλιν δὲ παρὰ τῷ Εὐδόξῳ ἀναστρέφεται διημαρτημένως περὶ τῆς κεφαλῆς τῆς Μεγάλης Ἄρκτου ἐν μὲν τῷ ἑνὶ συντάγματι, ὃ ἐπιγράφεται „Φαινόμενα", τὸν* 20
2 *τρόπον τοῦτον· „ὑπὲρ δὲ τὸν Περσέα καὶ τὴν Κασσιέ„πειαν οὐ πολὺ διέχουσά ἐστιν ἡ κεφαλὴ τῆς Μεγάλης*

---

3. *πολλῇ* Vat. P[1], *πολὺ* P[2]. ‖ 5. *οὐ γάρ μοι καὶ ἐπημ.* B. | inter *ἐπημ.* et *γαν.* rasura duarum litt. L. | *γανόωσι* B edd. | 8. *εἶναι* om. B. ‖ 9. *τοίοῖοι* LM, *τοίοιοῖ* V. | *κεφαλὴ* P[3], *κεφαλῇ̀* incerto acc. P[2]. ‖ 10. *καὶ ἀνδιχόμηνι* A, *καὶ ἐν διχόμ.* B. | 13. *πλὴν τῶν* B edd. | *τῶν*] *τοῦ* A. ‖ 15. *οὐ σε μαλ'* LMV. | *οἴω* Vat. M, *οἴῳ* P[1]P[2]LP[3], *οἴῳ* V, *ὀΐω* edd. ‖ 17. *τοίη οἷ*]

Falsch ist auch folgende Angabe des Aratos über die 21
Kassiopeja, wenn er sie nennt

188 jene nicht glanzreich
Nachts bei Vollmondschein sich zeigende Kassiopeja;
Denn sie erhellen nicht viel, noch dicht sich folgende Sterne.

Nämlich die meisten der in ihr stehenden Sterne sind heller als die in den Schultern des Schlangenträgers, von denen er behauptet, daſs sie sogar bei Vollmond gut sichtbar seien, indem er sich also ausdrückt:

77 So hell glänzen die unter dem Kopfe gelegenen prächt'gen
Schultern; bleiben sie doch selbst bei dem Scheine des Vollmonds
Leicht für das Auge zu finden.

Sie sind sogar, wenn man von dem Stern (α) im Kopfe 22
und dem nachfolgenden (β) von denen im Gürtel absieht, fast heller als die Sterne in der Andromeda, von welcher er sagt:

198 nicht ja, so mein' ich,
Spähst du sehr lange im Dunkel der Nacht, um sie rasch zu entdecken;
Also erglänzt ihr das Haupt, nicht minder auch beide die Schultern,
Unten die Füſse dann auch, und der Gürtel in ganzer Breite.

10. Ferner findet sich bei Eudoxos eine ganz gründ- VI. 1
lich verfehlte Darstellung[7]) bezüglich des Kopfes des Groſsen Bären, und zwar in der einen Abhandlung, welche „Himmelserscheinungen“ betitelt ist, in folgender Weise: „Über dem Perseus und der Kassiopeja befindet 2
„sich in nicht groſser Entfernung der Kopf des Groſsen

τοῖοίοι LM, τοῖοίοῖ P³V. | οἷ ante ἀμφ. om. B. ‖ 22. ᾧ ἐπιγράφεται AB. ‖ 23. ὑπὲρ*] ὑπὸ vulg.

„Ἄρκτου· οἱ δὲ μεταξὺ τούτων ἀστέρες εἰσὶν ἀμαυροί·“
ἐν δὲ τῷ ἐπιγραφομένῳ „Ἐνόπτρῳ“ οὕτως· „ὄπισθεν
„δὲ τοῦ Περσέως καὶ παρὰ τὰ ἰσχία τῆς Κασσιεπείας
„οὐ πολὺ διαλείπουσα ἡ κεφαλὴ τῆς Μεγάλης Ἄρκτου
3 „κεῖται· οἱ δὲ μεταξὺ ἀστέρες εἰσὶν ἀμαυροί.“ οὔτε 5
γὰρ κατὰ τὴν Κασσιέπειαν καὶ τὸν Περσέα κεῖται ἡ
κεφαλὴ τῆς Μεγάλης Ἄρκτου, οὔτε μικρὸν αὐτῶν
ἀπέχει· ἡ μὲν γὰρ Κασσιέπειά ἐστι κατὰ τὸ τῶν
Ἰχθύων δωδεκατημόριον, ὁ δὲ Περσεὺς κατὰ τὸν
Κριόν, ἡ δὲ κατὰ τὸν Εὔδοξον κεφαλὴ τῆς Μεγάλης 10
4 Ἄρκτου κατὰ τὴν β′ μοῖραν τοῦ Λέοντος. ἔγγιον οὖν
ἦν εἰπεῖν τὸν Περσέα καὶ τὴν Κασσιέπειαν κεῖσθαι
κατὰ ἄκραν τὴν οὐρὰν τῆς Μικρᾶς Ἄρκτου· ταύτης
γὰρ ὁ ἔσχατος καὶ λαμπρότατος ἀστὴρ κεῖται κατὰ τὴν
ιη′ μοῖραν τῶν Ἰχθύων, ὡς δὲ Εὔδοξος διαιρεῖ τὸν 15
ζῳδιακὸν κύκλον, κατὰ τὴν γ′ μοῖραν τοῦ Κριοῦ.

5 Ἐπὶ δὲ τοῦ Κριοῦ ὁ Ἄρατος ἀγνοεῖν μοι δοκεῖ,
λέγων αὐτὸν ἀφανῆ γίνεσθαι ἐν τῇ πανσελήνῳ διὰ
τὴν μικρότητα τῶν ἀστέρων· δεῖν δὲ σημειοῦσθαι τὴν
θέσιν αὐτοῦ ἔκ τε τῶν ἐν τῇ ζώνῃ τῆς Ἀνδρομέδας 20
ἀστέρων καὶ ἐκ τοῦ παρακειμένου αὐτῷ ἀπ᾽ ἄρκτου
6 Τριγώνου. λέγει γὰρ οὕτως περὶ αὐτοῦ·

225 αὐτοῦ καὶ Κριοῖο θοώταταί εἰσι κέλευθοι.

καὶ μετ᾽ ὀλίγον ἐπιφέρει·

228 αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος οἷα σελήνῃ 25
σκέψασθαι, ζώνῃ δ᾽ ἂν ὅμως ἐπιτεκμήραιο
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ᾽ αὐτὴν ἐστήρικται.

---

8. τὸ τῶν Ἰχθ. δωδεκατ.*] τὴν τῶν ἰχθ. μ⁰ ιβ′ vulg. ‖ 11. κατὰ τὴν β′ μοῖραν*] κατὰ τὴν ιβ′ μοῖ vulg. (τὴν om. MV); κατὰ τὸ ιβ′ μόριον coni. *Pet.* ‖ 12. ἦν om. B edd. ‖ 14. καὶ λαμπρ. om. B. | κατὰ τὴν ιβ′ μ⁰ B. ‖ 15. ὡς δὲ Εὔδ. corr. *Pet.*,

„Bären; die dazwischen liegenden Sterne sind aber licht-„schwach“, während es in der anderen, „Spiegel“ betitelten Abhandlung also heifst: „Hinter dem Perseus und neben „den Hüften der Kassiopeja liegt in nicht grofsem Ab-„stande der Kopf des Grofsen Bären; die dazwischen „liegenden Sterne sind aber lichtschwach.“ Nämlich weder 3 in der Gegend der Kassiopeja und des Perseus liegt der Kopf des Grofsen Bären, noch ist er nur wenig von ihnen entfernt. Denn die Kassiopeja liegt etwa auf dem Meridian (durch die Mitte) der Fische, der Perseus aber auf dem (durch die Mitte) des Widders, während der Stern (α), welcher nach der Annahme des Eudoxos den Kopf des Grofsen Bären darstellt, ungefähr auf dem Meridian von ♌ 2^0 liegt. Man könnte daher eher sagen, dafs der Perseus 4 und die Kassiopeja in der Gegend von dem Schwanzende des Kleinen Bären liegen; denn der äufserste und hellste Stern (α) des letzteren liegt auf dem Meridian von ♓ 18^0 oder, wie Eudoxos die Ekliptik teilt, auf dem von ♈ 3^0.

11. Bezüglich des Widders befindet sich Aratos meines 5 Erachtens in einem Irrtume, wenn er behauptet, dafs derselbe bei Vollmond unsichtbar werde wegen der Kleinheit seiner Sterne; man solle sich aber ein Merkmal für seine Lage abnehmen sowohl aus den Sternen im Gürtel der Andromeda, als auch aus dem nördlich über ihm gelegenen Dreieck. Er drückt sich nämlich darüber also aus: 6

225 Dort sind auch des Widders sehr rasch durchwandelte Bahnen.

Und alsbald fährt er fort:

228 Selber zwar schwach, ja gradezu sternlos beim Scheine des Mondes
Ist er zu schauen; vom Gürtel jedoch der Andromeda magst du
Ausgehn; denn nur weniges tiefer da ist sein Standort.

ὁ δὲ Εὔδ. vulg. ‖ 16. *κύκλον* om. A. ‖ 17. *ἐπὶ δὲ τοῦ Κριοῦ* om. B. ‖ 19. *δεῖ* B. ‖ 25. *οἷα σελ.* (sic) LV, *οἱάσελ.* M. | *σελήνῃ* Ur., *σελήνη* cett. ‖ 26. *ἐπιτεκυμήραιο* A. ‖ 27. *ἐστήρικτο* A.

καὶ πάλιν·

233 ἔστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα,
235 Δελτωτὸν πλευρῇσιν ἰσαιομένῃσιν ἐοικὸς
ἀμφοτέρῃσ'· ἡ δ' οὔτι τόση, μάλα δ' ἐστὶν ἑτοίμη
εὑρέσθαι· περὶ γὰρ πολέων εὐάστερός ἐστι· 5
τῶν ὀλίγον Κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.

7 ἀλλ' οὐ χρεία σημειοῦσθαι τὸν Κριὸν ἐκ τούτων· οἱ γὰρ ἐν τῇ κεφαλῇ αὐτοῦ κείμενοι ἀστέρες τρεῖς λαμπρότεροί εἰσι τῶν ἐν τῇ ζώνῃ τῆς Ἀνδρομέδας, ἔγγιστα δὲ καὶ τῶν ἐν τῷ Τριγώνῳ [οὐ πολὺ λειπόμενοι 10 αὐτῶν]· καλῶς δέ ἐστιν ἐκφανὴς καὶ ὁ ἐν τοῖς ἐμπροσθίοις αὐτοῦ ποσὶ κείμενος.

8 Ψευδῶς δὲ λέγεται καὶ ταῦτα ὑπὸ τοῦ Ἀράτου·

239 οἱ δ' ἄρ' ἔτι προτέρω, ἔτι δ' ἐν προβολῇσι νότοιο,
Ἰχθύες. 15

οὐ γὰρ ἀμφότεροι νοτιώτεροί εἰσι τοῦ Κριοῦ, ἀλλ' ὁ εἷς αὐτῶν. τοῦ γὰρ βορειοτέρου Ἰχθύος οἱ μὲν ἐπὶ τοῦ ῥύγχους μικρῷ νοτιώτεροι ὄντες τοῦ ἑπομένου τῶν ἐν τῇ ζώνῃ τῆς Ἀνδρομέδας ἀπὸ τοῦ βορείου πόλου ἀπέχουσι μοίρας ο'· ὁ δὲ ἡγούμενος τῶν ἐν τῇ 20 9 οὐρᾷ ἀπέχει ἀπὸ τοῦ βορείου πόλου μοίρας οη'. τῶν δ' ἐν τῷ Κριῷ ἀστέρων ὁ μὲν βορειότερος καὶ ἐπὶ τοῦ ῥύγχους κείμενος ἀπέχει μοίρας μικρῷ λειπούσας τῶν οη', ὁμοίως δὲ τούτῳ καὶ ὁ βορειότερος τῶν ἐν

---

4. ἀμφοτέρῃισ', ἣ δ' οὔτι ed. *Maass*, ἀμφοτέρῃσι δ' οὔτι A, ἀμφοτέραις· ἤδ' οὔτι LP³V, ἀμφοτέραις· ἥδ' οὔτι M edd. ‖ 10. τῷ om. A. | [οὐ πολὺ κτλ.] glossema esse videtur. ‖ 11. δ' ἔστιν A. ‖ 14. προτέρῳ P¹P²LP³. ‖ 20. πόλου] πολὺ A. | μ⁰ Θ B ed. pr. ‖ 21. ἀπὸ om. B edd. ‖ 22. δὲ ἐν edd. | βορειώτερος abhinc semper ed. pr. | 22—24. ἐπὶ τοῦ ῥ. — βορειότερος om. LMV, at in L addita sunt ab eodem scriba in margine supe-

Und weiter:

233 Dann auch ist noch ein anderes Zeichen benachbart gelegen,
235 Ein zwei Seiten von völliger Gleichheit zeigendes Dreieck;
Nicht gleich grofs ist die dritte, doch grade bequem zu finden;
Ist sie ja doch an helleren Sternen vor vielen erkennbar.
Davon liegen die Sterne des Widders nur weniges südwärts.

Allein es ist nicht notwendig, sich hieraus ein Merkmal für den Widder abzunehmen; denn die in seinem Kopfe stehenden drei Sterne (α β γ) sind heller als die Sterne (β μ ν) im Gürtel der Andromeda, nahezu aber auch heller als die im Dreieck [wenigstens stehen sie ihnen nicht viel nach]. Schön hell ist aber auch der Stern (η Piscium), welcher in den Vorderfüfsen des Widders steht. 7

Falsch ist auch folgende von Aratos gemachte Angabe: 8

239 Dort, noch weiter nach vorn, annoch im Gebiete des des Südens,
Siehst du die Fische.

Nämlich nicht beide sind südlicher als der Widder, sondern nur der eine von ihnen. Denn die Sterne (τ g) an der Schnauze des nördlichen Fisches, welche nur wenig südlicher sind als der nachfolgende (β) von denen im Gürtel der Andromeda, sind vom nördlichen Pol 70^0 entfernt, während der vorangehende (ψ) von den Sternen im Schwanze von dem nördlichen Pol einen Abstand von 78^0 hat. Von den Sternen im Widder dagegen hat der nördlichere (α) an der Schnauze stehende etwas weniger als 78^0 Abstand und gleich diesem auch der nördlichere (τ) 9

---

riore, ubi bibliopegorum incuria verba ἐπὶ τοῦ ϙ. — τῶν οη′ partim recisa sunt. Qua de causa haec tantum verba om. P[3], lacuna plus una linea ante ὁμοίως δὲ τούτῳ relicta.

τῇ οὐρᾷ· οἱ δὲ ἐν ὅλῳ τῷ σώματι κείμενοι τοῦ Κριοῦ πάντες εἰσὶ νοτιώτεροι τούτων. δῆλον οὖν ὅτι βορειότερός ἐστιν ὁ εἷς τῶν Ἰχθύων τοῦ Κριοῦ.

10 Ἐν δὲ τοῖς περὶ τὸν Κριὸν καὶ ὁ Ἄτταλος ἀγνοεῖ, λέγων οὕτως· „κατανοῶν δὲ τὸν Κριὸν οὔτε ἀκριβῶς 5 „διατετυπωμένον, οὔτε λαμπροὺς ἀστέρας ἔχοντα, δυνα- „μένους ἂν καὶ ἐν σελήνῃ λαμπρῶς θεωρεῖσθαι, διά „τε τῶν παρακειμένων ἄστρων πειρᾶται τὴν θέσιν „αὐτοῦ διασαφεῖν καὶ διὰ τῶν τὸν αὐτὸν αὐτῷ κύκλον 11 „φερομένων.“ χωρὶς γὰρ τοῦ λαμπροὺς αὐτὸν ἔχειν 10 ἀστέρας, τοὺς ἐν τῇ κεφαλῇ, ὡς ἔφαμεν, καὶ τὸν ἐν τοῖς ἐμπροσθίοις ποσί, καὶ ἀπεκδέχεσθαί μοι δοκεῖ, ὑπολαμβάνων διασαφεῖν αὐτὸν τὴν θέσιν τοῦ Κριοῦ φανερὰν ἔσεσθαι διὰ τῶν τὸν αὐτὸν κύκλον τῷ Κριῷ φερομένων. καὶ <γὰρ οὐ> τούτου χάριν ἐπισημαίνεται, 15 ἀλλὰ τὸ παρεπόμενον τῷ Κριῷ διασαφῶν ἐπιφέρει οὕτως·

231 μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν, ἧχί περ ἄκραι
Χηλαὶ καὶ ζώνη περιτέλλεται Ὠρίωνος.

12 Ἐν δὲ τοῖς ἑξῆς ἀγνοεῖ ὁ Ἄρατος, λέγων περὶ τοῦ 20 Περσέως·

254 ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
Πληϊάδες φορέονται.

πολὺ γὰρ ἀπέχει τὸ ἀριστερὸν γόνυ τοῦ Περσέως ἀπὸ τῶν Πλειάδων. ὁ δὲ Ἄτταλός φησι μὴ δεῖν δέχεσθαι 25

---

1. οἱ δὲ] οὐδ' A. ‖ 6. τετυπωμένον B. | δυν. ἂν καὶ*] δυν. δὲ καὶ vulg.; οὐ δυν. δὲ coni. *Scal.* ‖ 8. ἄστρων*] ἀστέρων vulg. | 9. αὑτοῦ*] αὐτῶν vulg. ‖ 11. καὶ τὸν*] καὶ τοὺς vulg. ‖ 12. καὶ ἀπεκδ.] κακῶς ἀπεκδ. coni. *Scal.* ‖ 13. ὑπολαμβάνειν A. ‖ 16. ἐπιφέρει*] ἐπιλέγει vulg. ‖ 18. μέσσοθι L. | ἡχι L. | ἄκρα MV. | 22. ἐπὶ γουνίδος A, ἐπιγούνιδος M, sine acc. LV. | ἥλιθα A. |

von denen im Schwanze, während die im ganzen Leibe des Widders liegenden alle südlicher sind als diese. Demnach ist klar, daſs der eine von den Fischen nördlicher ist als der Widder.

Hinsichtlich der Angaben über den Widder befindet sich auch Attalos in einem Irrtume, wenn er sagt, wie folgt: „Von der Wahrnehmung ausgehend, daſs der Widder „weder einen scharf ausgeprägten Umriſs zeigt, noch helle „Sterne hat, welche auch bei Mondschein hell gesehen „werden könnten, versucht er seine Lage sowohl mit „Hilfe der in der Nähe stehenden Sternbilder genau zu „bestimmen, als auch mit Hilfe derjenigen, welche sich „mit ihm auf demselben Kreise bewegen.“ Nämlich abgesehen davon, daſs der Widder, wie gesagt, helle Sterne hat, die im Kopfe ($\alpha\ \beta\ \gamma$) und den in den Vorderfüſsen (η), macht er sich meines Erachtens auch eines Miſsverständnisses schuldig, wenn er annimmt, daſs Aratos die Lage des Widders kenntlich gemacht wissen wolle mit Hilfe der Sternbilder, welche sich mit dem Widder auf demselben Kreise bewegen. Nämlich nicht für diesen Zweck giebt er ein Merkmal an die Hand, sondern lediglich um das, was dem Widder in gleicher Höhe folgt, deutlich zu bezeichnen, fährt er also fort: 10 11

231 Mitten am Himmel die Bahn durchwandelt er, wo sich der Scheren
Enden im Kreise bewegen, sowie vom Orion der Gürtel.

12. Im folgenden befindet sich Aratos in einem Irrtume, wenn er von dem Perseus sagt: 12

254 Nahe sodann seinem Knie, dem linken, bewegen gedrängt sich
Alle Plejaden.

Nämlich das linke Knie (ε) des Perseus ist von den Plejaden weit entfernt. Attalos behauptet, daſs man unter

25. πληιάδων B edd. hic et sic ter infra. | μὴ δεῖν δέχ. corr. *Scal.*, μὴ δὲ ἐνδέχ. Vat. B, μηδὲ ἐνδέχ. P[1]P[2] edd.

τὸ „ἄγχι“ ἀντὶ τοῦ „ἐγγύς“, ἀλλ' ἀντὶ τοῦ „ἐγγυτάτω“· „βούλεται γὰρ λέγειν“, φησίν, „ἐγγυτάτω τῶν Πλει-„άδων κεῖσθαι τὸ ἀριστερὸν γόνυ παρὰ τοὺς λοιποὺς

13 „ἀστέρας.“ οὐκ εὖ δὲ λέγει τοῦτο· οἱ γὰρ ἐν τῷ ἀρι-στερῷ ποδὶ τοῦ Περσέως δύο λαμπροὶ καὶ ἔτι ⟨ὁ⟩ ἐν 5 τῇ ἀριστερᾷ κνήμῃ πολλῷ ἐγγίονές εἰσι τῶν Πλει-άδων ἤπερ τὸ ἀριστερὸν γόνυ.

14 Ψευδῶς δὲ λέγεται ὑπὸ τοῦ Ἀράτου καὶ τὸ τὰς Πλειάδας ἓξ μόνον ἀστέρας περιέχειν·

261 ἑπτὰ (γάρ φησιν) ἐκεῖναι ἐπιρρήδην καλέονται, 10
258 ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι.

λανθάνει δὲ αὐτόν· τῷ γὰρ ἀτενίσαντι ἐν αἰθρίῳ καὶ ἀσελήνῳ νυκτὶ φαίνονται ἀστέρες ἑπτὰ ἐν αὐτῇ περιεχό-μενοι. ὅθεν καὶ διαπορήσειεν ἄν τις, πῶς ὁ Ἄτταλος ἐξηγούμενος τὰ περὶ τὰς Πλειάδας παρέπεμψε καὶ 15 τοῦτο τὸ διάπτωμα ὡς εὖ εἰρηκότος αὐτοῦ.

15 Πάλιν δὲ ὁ Ἄρατος ἐν τοῖς ἑξῆς ἀγνοεῖ, ἐπὶ τοῦ Ὄρνιθος λέγων·

276 ἀλλ' ὁ μὲν ἠερόεις· τὰ δέ οἱ ἔπι τετρήχυνται
ἄστρασιν οὔτι λίην μεγάλοις, ἀτὰρ οὐ μὲν ἀφαυροῖς. 20

καὶ γὰρ πολλοὺς καὶ λαμπροὺς ἀστέρας ἔχει ὁ Ὄρνις, τὸν δὲ ἐν τῇ οὐρᾷ καὶ σφόδρα λαμπρόν, ἔγγιστά τε ἴσον τῷ ἐν τῇ Λύρᾳ λαμπρῷ.

---

2. φησίν om. B. ‖ 6. ἐγγίοντές εἰσι B. ‖ 8. ψεῦδος A. 11. οἷαίπερ Vat. LP[3]V, οἵαιπερ P[1]P[2] Ur., οἷοιπερ M, οἵαιπερ ed. pr. ‖ 15. περὶ τῆς πληιάδος B. ‖ 16. τὸ om. B edd. | ὡς εὑρηκότος αὐτοῦ AB (εὑρηκότως M). ‖ 17. δὲ*] τε vulg. | ἐντὸς ἐν τοῖς A. ‖ 19. ἠερόης, sed η ult. in ras. P[2], ἠερόης ed. pr. |

„nahe“ nicht „dicht bei“, sondern „zunächst“ verstehen müsse: „er will nämlich sagen“, sind seine Worte, „dafs „das linke Knie des Perseus den Plejaden zunächst liege „im Verhältnis zu den übrigen Sternen.“ Allein damit 13 hat er entschieden nicht recht; denn die zwei hellen (ζ o) im linken Fufse des Perseus, ja sogar noch der im linken Schienbein (ξ), liegen in viel gröfserer Nähe der Plejaden, als gerade das linke Knie.

13. Falsch ist auch die von Aratos gemachte Angabe, 14 dafs die Plejaden nur sechs Sterne enthalten:

261 Sieben (sagt er nämlich) sind ihrer mit Namen benannt der Zahl nach;
258 Sechs nur kann das Auge erblicken.

Es ist aber ein Versehen; denn wenn man in einer heiteren und mondlosen Nacht recht scharf hinsieht, so sind sieben Sterne als in ihnen enthalten sichtbar. Daher kann man auch kaum begreifen, wie Attalos bei der Erklärung dieser die Plejaden betreffenden Stelle auch dieses Versehen einfach übersieht, als ob die Angabe des Dichters ganz richtig wäre.

14. Weiter befindet sich Aratos im folgenden in 15 einem Irrtume, wenn er bezüglich des Schwanes sagt:

276 Neblig erscheint er, doch einzelne Stellen gar ungleich besetzt mit
Sternen, die zwar nicht grofs, aber auch nicht lichtschwach erscheinen.

Nämlich der Schwan hat viele helle Sterne; der im Schwanz (α) ist sogar sehr hell und fast gleich dem hellen (α) in der Leier.

ἔπι τετρ. corr. *Maass*, *ἐπιτετρήχυνται* A, *ἐπιτετρήχαται*, sed *ην* paenult. suprascr. B, *ἐπιτετρήχηνται* edd. ‖ 20. *οὖ μεν* LP³V. ‖ 22. *δ' ἐν* AP³. ‖ 23. *ἴσον* L semper, *ἶσον* A semper, var. P³MV edd. | *Λύρᾳ* om. A.

Cap. VII.

1 Ἐν δὲ τοῖς ἑξῆς ὁ Ἄρατος εἰπὼν περὶ τοῦ μηκέτι δεῖν νυκτοπλοεῖν, ὅταν τὸν Τοξότην ὁ ἥλιος ἄρξηται διαπορεύεσθαι, σημεῖα βουλόμενος ὑποδεῖξαι τοῦ καιροῦ τούτου φησί· 5

303 σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
Σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός.
ἤτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
Τοξευτής· ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Σκορπίος ἀντέλλων, ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον. 10
τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος ἀκρόθι νυκτὸς
ὕψι μάλα τροχάει, ὁ δὲ δύεται ἠῶθι πρὸ
ἀθρόος Ὠρίων, Κηφεὺς δ' ἀπὸ χειρὸς ἐπ' ἰξύν.

2 περὶ δὲ τούτων ὁ Ἄτταλος προενεγκάμενος αὐτίκα γράφει ταυτί· „τὰ μὲν οὖν λοιπὰ μετρίως εἴρηκεν 15 „ἐν τούτοις ὁ ποιητής· τὸ δὲ περὶ τοῦ Κηφέως ὁμολογου„μένως ἠγνόηκε, φήσας αὐτὸν δύεσθαι κατὰ τὸν καιρὸν „τοῦτον· οὐ γὰρ δύσιν, ἀλλ' ἐκ τῶν ἐναντίων ἀνατολὴν 3 „τότε ποιεῖται. καὶ τοῦτο δι' αὐτῶν τῶν ποιημάτων „φανερὸν γίνεται· τῆς μὲν γὰρ δύσεώς φησιν αὐτὸν 20 „ἄρχεσθαι, καθ' ὃν καιρὸν αἱ Χηλαί, πρὸς τῇ ἀνατολῇ „οὖσαι, μέλλουσιν ἀναφέρεσθαι, πάντα δ' αὐτοῦ δεδυ„κέναι τὰ μέρη τὰ δυνάμενα δύεσθαι, ὅταν ὁ Σκορπίος „πρὸς τῇ ἀνατολῇ γένηται."

3. νυκτοπλοεῖν*] πυκνοπλοεῖν vulg. | ὅτ' ἂν LM hic et sic semper, variant P³V edd. ‖ 6. post ἐκείνου καὶ add. Vat. P², κὸ P¹. ‖ 8. μέγα] μετὰ ALMV, sed in marg. corr. μέγα L (m. 3) V; μέγα | μετὰ τόξον P³. ‖ 11. τημὸς V, sine acc. L. | κεφαλὴν B. κυνοσούριδος AB ed. pr. ‖ 13. ἀθρόως A. | ἐπιξήν LP³M, sed L corr. in ras. ἐπιξύν, M corr. ἐπιξίαν; ἐπιξίων V, sed in marg. corr. ἐπιξήν. ‖ 14. περὶ τούτου B, περὶ δὲ τούτου edd. ‖ 16. ἐν τούτοις om. B edd. | περὶ om. B. | ὡμολογ. P³M. ‖ 17. τὸν om. B edd.

B. Der Gestirnstand beim Skorpionaufgange.

Nachdem im folgenden Aratos darüber gesprochen hat, VII. 1
dafs man die Schiffahrt zur Nachtzeit einstellen müsse, wenn die Sonne anfange den Schützen zu durchwandern, fährt er fort in der Absicht, ein Merkmal dieses Zeitpunktes anzugeben:

303 Zeichen für Eintritt der Zeit und des Monats kann dir der Aufgang
Vom Skorpion sein, wann er am Ende der Nacht sich emporhebt.
Siehe, da spannt den gewaltigen Bogen ganz nahe dem Stachel
Jetzo der Schütz; nur wenig voran steht im Aufgang begriffen
Vor ihm der Skorpion; höher und höher erhebt sich auch jener.
Dann kreist auch vom kleineren Bären zu Ende der Nachtzeit
Hoch am Himmel der Kopf; dann sinket hinab vor dem Frühlicht
Ganz der Orion, doch Kepheus nur von der Hand bis zur Hüfte.

Hierüber schreibt Attalos, nachdem er die Verse angeführt 2
hat, folgendes: „Das übrige hat der Dichter in diesen „Versen entsprechend dargestellt; was aber den Kepheus „anbelangt, so befindet er sich nachweisbar in einem Irr„tume, wenn er behauptet, dafs er um diese Zeit unter„gehe; denn nicht seinen Untergang, sondern im Gegenteil „seinen Aufgang bewerkstelligt er dann. Und dies geht 3
„aus den Worten des Dichters selbst hervor; denn er „sagt, dafs er mit dem Untergange den Anfang mache „zu der Zeit, wo die Scheren, im östlichen Horizont „stehend, im Begriff seien, sich zu erheben (V. 630 ff.), „dafs aber alle seine Teile, welche untergehen können, „untergegangen seien, wann der Skorpion in den östlichen „Horizont tritt (V. 649 ff.)."

4 *Δοκεῖ οὖν μοι ἀγνοεῖν ὁ Ἄτταλος, φάσκων τὰ μὲν περὶ τῆς κεφαλῆς τῆς Μικρᾶς Ἄρκτου καὶ περὶ τοῦ Ὠρίωνος ὀρθῶς εἰρηκέναι τὸν Ἄρατον, περὶ δὲ τοῦ Κηφέως διημαρτημένως· τοὐναντίον γὰρ περὶ μὲν τοῦ Κηφέως εἴρηκε συμφώνως τοῖς φαινομένοις, περὶ δὲ* 5
5 *τῶν ἄλλων διαφώνως. τούτου δ' ἔτι πρότερον διαμαρτάνειν μοι δοκεῖ ὑπολαμβάνων, τὸν Ἄρατον τὰ εἰρημένα σημεῖα ὑπογράφειν ἡμῖν τῆς τοῦ Τοξότου ἀνατολῆς. ὅτι μὲν γὰρ τοῦτο ἐκδέχεται, φανερὸν μὲν*
6 *ἦν καὶ ἐκ τῶν προγεγραμμένων αὐτοῦ λέξεων. χωρὶς* 10 *δὲ τούτων καὶ ῥητῶς ἐν τοῖς ἑξῆς φησιν οὕτως· „ὁμολογουμένως δὴ κατὰ τοῦτον τὸν καιρὸν πάντων „αὐτοῦ τῶν ἐκτὸς τοῦ ἀρκτικοῦ κύκλου κειμένων μερῶν „δεδυκότων, ἤδη μὲν φανερόν ἐστιν, ὅτι τοῦ Τοξότου „πρὸς τῇ ἀνατολῇ ὄντος οὐ ποιεῖται τὴν ἀρχὴν τῆς* 15 *„δύσεως, ⟨ἀλλ' ἐκ τῶν ἐναντίων τῆς ἀνατολῆς⟩.“*
7 *πλὴν ἵνα σαφέστερον γένηται, διότι κατὰ τὴν τοῦ Τοξότου ἀνατολὴν οὐ δύσιν, ἀλλ' ἀνατολὴν αὐτοῦ συμβαίνει γίνεσθαι, λάβωμεν τὸ λεγόμενον ὑπ' αὐτοῦ περὶ τὸν καιρὸν τοῦτον· ὁ δὲ ἀπεκδέχεται ἅπαν* 20 *ψευδές. ὅτι δὲ Ἄρατος τὰ εἰρημένα σημεῖα οὐ πρὸς τὴν τοῦ Τοξότου ἀνατολὴν τίθησιν, ἀλλὰ κατ' αὐτὴν τὴν τοῦ Σκορπίου ἀνατολήν, φανερὸν ποιεῖ αὐτὸς ὁ*
8 *ποιητής. ἐπεὶ γὰρ τοῦ ἡλίου ὄντος ἐν τῷ Τοξότῃ οὐ δυνατὸν ἦν θεωρεῖσθαι τὸν Τοξότην, τοῦ [δὲ] καιροῦ* 25 *ἐκείνου σημεῖα ἡμῖν ἐκτίθεται, ἃ δεῖ πάντως αἰσθητὰ εἶναι, εἰ μέλλει σημεῖα ἔσεσθαι. πρὸ τῆς ἀνατολῆς*

---

1. *ὁ Ἄτταλος* om. B. ‖ 2. *τῆς* ante *Μικρ.* om. A. | *τοῦ ὠρίων.* fere semper Vat., plerumque P[1]P[2], nonnusquam P[3]. ‖ 5. *συμφώνως* om. AB. ‖ 6. *διαφώνως*] *διαφωνοῦσι* B. ‖ 8. *ἐκ τῆς τ. Τ. ἀν.* coni. *Scal.* ‖ 9. *τοῦτ' ἐκδ.* A. | *μὲν ἦν καὶ* om. B. ‖ 12. *δὴ*] *ἤδη* B. ‖ 13. *αὐτοῦ*] *αὐτῶν* B. | *ἐκτὸς*] *ἐκ* B. | *μερῶν* om. B. |

Meines Erachtens befindet sich nun Attalos in einem 4
Irrtume, wenn er behauptet, daſs Aratos die Angabe über den Kopf des Kleinen Bären und über den Orion richtig gemacht habe, die über den Kepheus dagegen falsch; denn im Gegenteil, gerade was den Kepheus anbelangt, ist seine Darstellung der Wirklichkeit entsprechend, hinsichtlich der übrigen Punkte aber widersprechend. Noch vor- 5
her aber scheint er mir in einem Irrtume begriffen zu sein, wenn er annimmt, daſs Aratos die angegebenen Merkmale uns als solche für den Aufgang des Schützen mitteile. Daſs er dies nämlich annimmt, war auch schon aus den oben mitgeteilten Worten ersichtlich. Auſserdem 6
spricht er sich aber auch ausdrücklich in dem weiteren Wortlaut der Stelle also aus: „Da somit bewiesenermaſsen „um diesen Zeitpunkt alle seine auſserhalb des arktischen „Kreises gelegenen Teile untergegangen sind, so ist es „eben klar, daſs er, wenn der Schütze im östlichen Hori„zont steht, nicht den Anfang mit seinem Untergange „macht, sondern im Gegenteil mit dem Aufgange.“ Ledig- 7
lich damit (die Richtigkeit des hier geführten Nachweises) schärfer hervortrete, daſs allerdings zur Zeit des Aufganges des Schützen nicht der Untergang, sondern der Aufgang des Kepheus stattfinde, wollen wir einmal annehmen, daſs die Darstellung des Dichters diesem Zeitpunkt entspreche, wiewohl diese Annahme des Attalos ganz falsch ist. Denn daſs Aratos die angegebenen Merkmale nicht für den Aufgang des Schützen ansetzt, sondern genau in die Zeit des Skorpionaufganges, giebt der Dichter selbst zu verstehen. Da nämlich zu der Zeit, wo die 8
Sonne im Schützen steht, es nicht möglich wäre, das Sternbild des Schützen zu sehen, so giebt er uns Merkmale für diesen Zeitpunkt an, welche durchaus wahrnehmbar sein müssen, wenn es Merkmale sein sollen.

---

19. *τὰ λεγόμενα* A. ‖ 20. *τοῦτον* om. Vat., suprascr. m. 3. 21. *δ' Ἄρ.* A. | *πρὸς τῇ τ. Τ. ἀνατολῇ* A. ‖ 22. 23. *τίθησιν — ἀνατολήν* om. B. ‖ 24. *ἐπὶ γὰρ* A. ‖ 26. *δεῖ*] *δὴ* A. ‖ 27. *εἰ μέλλοι* B edd. hic et infra.

οὖν τοῦ ἡλίου, ἔτι τῆς νυκτὸς ἐνεστηκυίας καὶ βλεπο-
μένων τῶν ἀστέρων, „σημεῖόν“ φησιν „ἔστω Σκορπίος
9 ἀνατέλλων ληγούσης τῆς νυκτός“. εὔλογον τοίνυν
καὶ τὰ λοιπὰ σημεῖα ἔτι νυκτὸς οὔσης ὑπογράφειν
αὐτὸν ἡμῖν, εἰ μέλλει σημεῖα εἶναι. δῆλον δὲ τοῦτο 5
γίνεται καὶ ἐκ τοῦ αὐτὸν τὸν Ἄρατον ἐπὶ μὲν τῆς
Ἄρκτου λέγειν· „τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος
ἀκρόθι νυκτός“, ὡς ἂν περὶ τὰ ἔσχατα τῆς νυκτός·
ἐπὶ δὲ τοῦ Ὠρίωνος· „ὁ δὲ δύεται ἠῶθι πρό·“ ὅπερ
ἐστὶ πρὸ τῆς ἠοῦς, καὶ οὐ, μὰ Δία, [πρὸ] τοῦ ἡλίου 10
ἤδη ἀνατέλλοντος ἐν τῇ ἀρχῇ τοῦ Τοξότου.

10 Ἐπλανήθη δὲ ὁ Ἄτταλος διὰ τὸ τῷ ἐπὶ τοῦ Τοξότου
εἰρημένῳ „ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον“ συνάπτειν
τὸ „τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος“ καὶ τὰ ἑξῆς.
πλὴν εἴ τις καὶ τοῦτο συγχωρήσειεν αὐτῷ, οὐδ' οὕτως 15
δύναται ὁ Ἄρατος „μετρίως λέγειν“, ὥς φησιν ὁ
Ἄτταλος, τούτου ἀνατέλλοντος „ὕψι μάλα τροχάειν
11 τὴν κεφαλὴν τῆς Μικρᾶς Ἄρκτου“. ταύτης γὰρ „ὕψι
μάλα“ φερομένης καὶ μεσουρανούσης, οὐχ ὁ Τοξότης
ἀνατέλλει, ἀλλ' ὁ Ὑδροχόος. ἡ μὲν γὰρ κεφαλὴ τῆς 20
Μικρᾶς Ἄρκτου ἐπέχει κατὰ τὸν παράλληλον τῷ
ἰσημερινῷ κύκλον τὴν τελευτὴν τοῦ Σκορπίου· ταύτης
δὲ ⟨ἐπὶ τοῦ παραλλήλου⟩ μεσουρανούσης, ἐν τῷ
ζῳδιακῷ μεσουρανεῖ ἡ γ′ μοῖρα τοῦ Τοξότου, ἧς
μεσουρανούσης ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις καὶ 25
ὅπου ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ′ ∟″,
12 ἀνατέλλει [τοῦ] Ὑδροχόου μοῖρα ιζ′. ὅταν ἄρα ἡ
κεφαλὴ τῆς Μικρᾶς Ἄρκτου μεσουρανῇ, ⟨ἢ⟩ ὅπερ

---

2. ἀστέρων Vat., ἄστρων cett. ‖ 3. τοίνυν om. B edd.
4. σημεῖά ἐστι νυκτὸς AP[3], σημεῖα σημεῖά ἐστι νυκτὸς LMV

Also vor Aufgang der Sonne, wenn es noch Nacht ist und die Sterne sichtbar sind, sei ein Merkmal, sagt er, der Aufgang des Skorpions gegen das Ende der Nacht. Natürlich giebt er uns also auch die übrigen Merkmale 9 für die Zeit an, wo es noch Nacht ist, wenn es Merkmale sein sollen. Deutlich geht dies auch daraus hervor, daſs Aratos selbst hinsichtlich des Bären die Angabe macht: „Dann kreist auch vom kleineren Bären zu Ende der Nachtzeit,“ also gegen das Ende der Nacht; ferner hinsichtlich des Orion: „dann sinket hinab vor dem Frühlicht“ d. h. vor dem Morgengrauen, und doch wahrhaftig nicht, wenn bereits die Sonne im Anfange des Schützen im Aufgange begriffen ist.

Verleitet wurde Attalos zu seiner irrtümlichen Auf- 10 fassung dadurch, daſs er mit den auf den Schützen bezüglichen Worten: „höher und höher erhebt sich auch jener“ unmittelbar verband: „dann kreist auch vom kleineren Bären u. s. w.“ Selbst wenn man ihm auch noch dieses Zugeständnis machen würde, kann trotzdem Aratos nicht „entsprechend darstellen“, wie Attalos sich ausdrückt, daſs beim Aufgange des Schützen der Kopf des Kleinen Bären „hoch am Himmel kreise“. Denn wenn dieser 11 „hoch am Himmel“ steht d. h. kulminiert, geht nicht der Schütze, sondern der Wassermann auf. Der Kopf (β) des Kleinen Bären liegt nämlich in seinem Parallelkreise zum Äquator am Ende des Skorpions; wenn aber letzteres im Parallelkreise kulminiert, so kulminiert in der Ekliptik ♐ 3^0, bei welcher Kulmination in den Gegenden von Griechenland und überhaupt da, wo die Dauer des längsten Tages $14\frac{1}{2}$ Stunden beträgt, ♒ 17^0 aufgeht.*) Wenn 12 also der Kopf des Kleinen Bären kulminiert oder, was

---

(M ἔστιν). ‖ 6. γίνεται om. B edd. ‖ 7. κυνοσούριδος vulg. ‖ 9. ὅπερ ἐστι Ur., ὅπέρ ἐστι cett. hic et infra. ‖ 11. τοῦ Τοξότου*] τούτου vulg. ‖ 19. ὁ Τοξ.*] ὅτι τοξ. vulg. ‖ 20. ἀλλ' ὁ Ὑδρ.*] ἀλλὰ ὑδρ. A, ἀλλ' ὑδρ. B edd. ‖ 21. κατὰ τὸ παρ. A. ‖ 22. κύκλῳ A edd. 25. καὶ om. B. ‖ 26. ιδ' AP[3] Ur.

ἐστὶ ταὐτόν, „ὕψι μάλα τροχάει“, τότε οὐχ ὁ Σκορπίος ἄρχεται ἀνατέλλειν, ἀλλὰ τοῦ Ὑδροχόου πλεῖον ἢ τὸ ἥμισυ ἀνατέταλκε μέρος, ὁ δὲ Σκορπίος ἤδη ὅλος ⟨προηγεῖται τοῦ μεσημβρινοῦ⟩. ὡς μὲν οὖν οὐ „μετρίως“ εἴρηται τοῦτο τῷ Ἀράτῳ, ὡς ὁ Ἄτταλός φησιν, ἀλλὰ 5 *πλείοσιν ἢ τρισὶ ζῳδίοις διαφωνεῖ πρὸς τὸ φαινόμενον, φανερὸν ἐκ τῶν εἰρημένων.*

13 *Ὅτι δὲ οὐδ' ὁ Ὠρίων ὅλος δύνει τοῦ Σκορπίου ἀρχομένου ἀνατέλλειν, ὡς ὅ τε Ἄρατος λέγει καὶ ὁ Ἄτταλος αὐτῷ συναποφαίνεται, ἀλλὰ μᾶλλον τοῦ Τοξό-* 10 14 *του, φανερὸν ἂν γένοιτο διὰ τούτων. ἐν γὰρ τοῖς περὶ τὴν Ἑλλάδα τόποις ⟨καὶ⟩ ὅπου ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ιδ' ∟'', ἄρχεται μὲν δύνειν κατὰ τὸν ἀριστερὸν πόδα δυνούσης Ταύρου μοίρας ζ', ἔσχατον δὲ δύνει κατὰ τὸν δεξιὸν ὦμον δυνούσης τῆς κδ'* 15 15 *μοίρας τοῦ Ταύρου· εἰ δὲ καὶ τὸ κολλόροβον, ὃ ἔχει ἐν τῇ δεξιᾷ χειρί, προσλαβεῖν δεῖ, τῇ ἐσχάτῃ μοίρᾳ τοῦ Ταύρου συγκαταδύνει. δῆλον οὖν ὅτι, εἰ ⟨τῷ⟩ Ταύρῳ συγκαταδύνει, οὐ ⟨τοῦ⟩ Σκορπίου ἀνατέλλειν ἀρχομένου, ἀλλὰ τοῦ Τοξότου, ὅλος ὁ Ὠρίων κατα-* 20 *δύνει.*

16 *Τὰ δὲ περὶ τοῦ Κηφέως λεγόμενα ὅτι συμφώνως τοῖς φαινομένοις Ἄρατος λέγει, καὶ οὐ διαφώνως, ὡς ὁ Ἄτταλος ὑπολαμβάνει, δῆλον ἂν γένοιτο διὰ τούτων.* 17 *ἄρχεται μὲν δύνειν τὰ νοτιώτερα αὐτοῦ μέρη τοῦ ἀεὶ* 25 *φανεροῦ κύκλου ἀνατελλούσης τῆς η' μοίρας τῶν Χηλῶν, λήγει δὲ δύνοντα ⟨ἀνατελλούσης⟩ τῆς ιγ'*

---

1. *ταὐτὸν τῷ* coni. *Scal.* ‖ 2. ἢ] *εἰ* A. ‖ 8. *οὐδ' ὁ**] *οὔτε* vulg. 13. *ιδ'* A. ‖ 16. *τὸν κολόβορον, ὃν* A. | ὃ om. B ed. pr.; *ὅπερ* addi voluit *Scal.* ‖ 18. *συγκαταδύνειν* edd., *συγκαταδῦνον* coni. *Scal.* ‖ 19. *Ταύρῳ*] *ταύρου* A. ‖ 22. *περὶ κηφέως* suprascribuntur

dasselbe ist, „hoch am Himmel kreist“, dann beginnt nicht der Skorpion aufzugehen, sondern es ist schon mehr als die Hälfte des Wassermannes aufgegangen, während der Skorpion bereits in seiner ganzen Ausdehnung westlich des Meridians steht. Dafs also dies von Aratos nicht „entsprechend dargestellt“ ist, wie Attalos behauptet, sondern um mehr als drei Zeichen von dem in Wirklichkeit stattfindenden Verhältnisse abweicht, geht aus dieser Erörterung deutlich hervor.

13 Dafs aber auch der Orion nicht ganz untergeht, wenn der Skorpion aufzugehen beginnt, wie Aratos behauptet und Attalos als richtig gelten läfst, sondern vielmehr erst, wenn der Schütze im Aufgang begriffen ist, dürfte aus folgenden Angaben ersichtlich werden. 14 In den Gegenden von Griechenland nämlich und überhaupt da, wo die Dauer des längsten Tages $14\frac{1}{2}$ Stunden beträgt, beginnt der Orion mit dem linken Fufse (β) unterzugehen mit dem Untergange von ♉ 7^0, das Ende des Untergangs aber macht er mit der rechten Schulter (α) mit dem Untergange von ♉ 24^0. 15 Soll man aber auch noch die Keule ($\chi^1 \chi^2$), welche er in der rechten Hand hält, dazurechnen, so geht er mit dem letzten Grade des Stiers unter. Wenn er also mit dem Stier untergeht, so ist es offenbar, dafs der Orion ganz untergeht, nicht wenn der Skorpion, sondern wenn der Schütze anfängt aufzugehen.

16 Dafs endlich Aratos die Angabe über den Kepheus der Wirklichkeit entsprechend macht, und nicht widersprechend, wie Attalos annimmt, dürfte aus folgendem ersichtlich werden. 17 Es beginnen die Teile desselben, welche südlicher sind als der immer sichtbare Kreis, unterzugehen mit dem Aufgange von ♎ 8^0 und beendigen ihren Untergang mit dem Aufgange von ♎ 13^0. Es ist

---

sequentia B, uno tenore pergitur A; conr. Praef. cap. II. | *τὰ δὲ λοιπὰ περὶ* B edd. ‖ 23. *ἀράτω* B. | *διαφώνως**] *διαφωνεῖ* vulg. 25. *ἀειφανοῦς* B. ‖ 27. *λήγει δὲ δύνοντα**] *λέγει δύναται* vulg.; *λήγει δὲ δύνειν* coni. *Scal.*

μοίρας τῶν Χηλῶν. φανερὸν τοίνυν ὅτι τοῦ Σκορπίου ἀνατέλλοντος δεδυκέναι δεῖ τὰ δύνοντα μέρη τοῦ
18 Κηφέως. ἐπλανήθη δὲ ὁ Ἄτταλος, λέγων μὴ δύνειν τὸν Κηφέα, ἀλλ' ἐκ τῶν ἐναντίων ἀνατέλλειν, ἀπεκδεξάμενος τοῦ ποιητοῦ τὸ βούλευμα, ὡς προείρηκα, 5 καὶ ὑπολαβὼν τὸν Ἄρατον λέγειν, τοῦ Τοξότου ἀνατέλλοντος τόν τε Ὠρίωνα καὶ τὸν Κηφέα δύνειν.

19 Χωρὶς δὲ τῶν εἰρημένων ἀμφότεροι ἀγνοοῦσιν, ὅ τε Ἄρατος καὶ ὁ Ἄτταλος συναποφαινόμενος αὐτῷ, διότι δύνει ὁ Κηφεὺς τῇ ζώνῃ 10

650 γαῖαν ἐπιξύων, τὰ μὲν εἰς κεφαλὴν μάλα πάντα
βάπτων Ὠκεανοῖο· τὰ δ' οὐ θέμις, ἀλλὰ τά γ' αὐτὸν
Ἄρκτοι κωλύουσι, πόδας καὶ γοῦνα καὶ ἰξύν.

20 ἐν γὰρ τοῖς περὶ τὴν Ἑλλάδα τόποις οὐχ οἷον ἕως τῆς 15 ζώνης δύνει ὁ Κηφεύς, ἀλλ' οὐδὲ ἕως τῶν ὤμων. οἱ γὰρ ἐν τῇ κεφαλῇ αὐτοῦ κείμενοι ἀστέρες μόνον δύνουσιν· οἱ δὲ ὦμοι ἐν τῷ ἀεὶ φανερῷ τμήματι φέρονται, οὔτε δύνοντες, οὔτε ἀνατέλλοντες· ὁ μὲν γὰρ ἐν τῷ δεξιῷ ὤμῳ λαμπρὸς ἀστὴρ ἀπέχει ἀπὸ τοῦ 20 πόλου μοίρας λε´ ϛ″, ὁ δὲ ἐν τῷ ἀριστερῷ ὤμῳ λαμπρὸς
21 ἀπέχει μοίρας λδ´ δ″. ὅπου δέ ἐστιν ἡ μεγίστη ἡμέρα ὡρῶν ιδ´ ϛ″, ἐκεῖ ὁ ἀεὶ φανερὸς κύκλος ἀπέχει ἀπὸ τοῦ πόλου μοίρας λϛ´, ἐν Ἀθήναις δὲ μοίρας λζ´. δῆλον οὖν ὅτι βορειότεροι ἀεὶ φέρονται τοῦ ἀεὶ φανεροῦ 25 κύκλου οἱ ἐν τοῖς ὤμοις κείμενοι τοῦ Κηφέως λαμπροὶ ἀστέρες ἤ, ὥς τινές ⟨φασιν⟩, ἐν ταῖς χερσὶ τοῦ Κηφέως,

2. τὰ δύνοντα μέρη*] τὰ δύο μέρη A, τὰ β´ μέρη B edd. ‖ 4. ἀπεκδεξάμενος corr. *Pet.*, ἀποδεξ. vulg. ‖ 7. τόν τε] τότε Vat. ‖ 11. ἐπιξύει A. ‖ 12. ἀλλὰ τά γ' αὐτὸν ed. *Maass*, ἀλλὰ τά τ'

also klar, daſs bei dem Aufgange des Skorpions die untergehenden Teile des Kepheus untergegangen sein müssen. Verleitet wurde Attalos zu der irrtümlichen Behauptung, daſs der Kepheus nicht untergehe, sondern im Gegenteil aufgehe, dadurch, daſs er die Absicht des Dichters, wie schon gesagt, miſsverstand und annahm, daſs Aratos den Orion sowohl wie den Kepheus mit dem Aufgange des Schützen untergehen lasse. 18

Hierzu kommt noch eins. Beide befinden sich in einem Irrtume, Aratos sowohl als auch Attalos, und zwar dieser dadurch, daſs er die Behauptung des ersteren stillschweigend anerkennt, daſs Kepheus untergehe, mit dem Gürtel 19

650 Streifend die Erde und bis zum Haupt im Okeanos alles
Badend; nicht jedoch kann er das übrige, — denn ihn verhindern
Daran die Bären, — die Beine, die Kniee, sowie auch die Hüfte.

In den Gegenden von Griechenland geht nämlich der Kepheus nicht nur nicht bis zum Gürtel unter, sondern nicht einmal bis zu den Schultern; denn nur die im Kopfe desselben stehenden Sterne gehen unter, während sich die Schultern in dem Abschnitte der beständigen Sichtbarkeit bewegen, ohne unter- oder aufzugehen. Der helle Stern (α) in der rechten Schulter ist nämlich vom Pol $35\frac{1}{2}^0$ entfernt, während der helle (ι) in der linken Schulter einen Abstand von $34\frac{1}{4}^0$ hat. Überall da aber, wo die Dauer des längsten Tages $14\frac{1}{2}$ Stunden beträgt, dort ist der immer sichtbare Kreis vom Pol 36^0 entfernt, in Athen 37^0. Folglich ist es klar, daſs die in den Schultern des Kepheus stehenden hellen Sterne (einige setzen sie in die Hände des Kepheus, als ob er dieselben ausstreckte, während die 20 21

αὐτὰ A, *ἀλλ' ἄστατος αὐτὸν* B, *ἀλλὰ τά γ' αὐταὶ* edd. ‖ 15. *ἐν γὰρ περὶ τοῖς τὴν* 'E. A. | *οἷον* om. B edd. | *ἕως*] *ὡς* A. 18. *ἀειφανερῷ* hic et sic semper V, sine acc. hic et infra LP³. ‖ 21. *μοίρας λε΄ ϛ΄΄ — λαμπρὸς ἀπέχει* om. A. ‖ 23. *ῑδ ἥμισυ* A.

ὡς ἂν διωργυιωμένου αὐτοῦ τῶν ὤμων αὐτῶν ἀν-
22 αστερίστων ὄντων. πολλῷ δὲ μεῖζον γίνεται τὸ ἀγνόημα, κἂν ὑποθώμεθα τὸ καθ' ἑαυτὸ ἔγκλιμα τοῦ κόσμου· ὅπου γὰρ ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστι ιε', ἐκεῖ ὅλος ὁ Κηφεὺς ἐν τῷ ἀρκτικῷ φέρεται. 5

Cap. VIII.

1 Ἀγνοεῖ δὲ ὁ Ἄρατος καὶ ἐν τῷ ἀστερισμῷ τῆς Ἀργοῦς· φησὶ γὰρ αὐτῆς τὸ ἀπὸ τῆς πρῴρας μέρος ἕως τοῦ ἱστοῦ ἀναστέριστον εἶναι, λέγων οὕτως·

349 καὶ τὰ μὲν ἠερίη καὶ ἀνάστερος ἄχρι παρ' αὐτὸν 10
ἱστὸν ἀπὸ πρῴρης φέρεται, τὰ δὲ πᾶσα φαεινή.

οἱ γὰρ ἐν τῇ ἀποτομῇ τοῦ πλοίου κείμενοι λαμπροὶ ἀστέρες, ὧν ὁ μὲν βορειότερος ἐν τῷ καταστρώματί ἐστιν, ὁ δὲ νοτιώτερος ἐν τῇ τρόπει, πολὺ πρὸς ἀνατολὰς παραλλάσσουσιν. 15

2 Ἐν δὲ τοῖς ἐφεξῆς ὁ Ἄρατος ἐπελθὼν τὰ λοιπὰ τῶν νοτιωτέρων ἄστρων τοῦ ζῳδιακοῦ, ἐπιφέρει ταυτί·

367 οἱ δ' ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ
μεσσόθι Πηδαλίου καὶ Κήτεος εἱλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι Λαγωοῦ. 20

ἐν δὲ τούτοις παρεωρακέναι μοι δοκεῖ (οὕτως γὰρ δεῖ λέγειν), ὑπολαβὼν μεταξὺ τοῦ Πηδαλίου καὶ τοῦ
3 Κήτους κεῖσθαι τοὺς ἀνωνύμους ἀστέρας. δεῖ γὰρ

---

1. διωργυομένου P²M, διωργυωμένου cett. | τῶν ὤμων αὐτῶν*] τῶν σωμάτων vulg.; τῶν λοιπῶν τοῦ σώματος coni. *Scal.* ‖ 2. τὸ ante ἀγν. om. A edd. ‖ 3. ὑποθ. καθ' ἑαυτοὺς τὸ ἔγκλ. B; τὸ κατ' αὐτὸν ἔγκλ. coni. *Scal.* ‖ 5. ἐντὸς τοῦ ἀρκτικοῦ leg. esse vid. ‖ 11. φαείνει A. ‖ 12. ἐν τῇ ἀποτ.*] ἐκ τῆς ἀποτ. vulg. ‖

Schultern selbst durch Sterne nicht bezeichnet sind) sich beständig nördlich des immer sichtbaren Kreises bewegen. Noch viel gröfser wird der Fehler, wenn wir die an sich 22 richtige Polhöhe (c. 41^0) zu Grunde legen wollten; denn überall, wo die Dauer des längsten Tages 15 Stunden beträgt, dort bewegt sich der Kepheus ganz im arktischen Kreise.

C. Der südliche Sternenhimmel.

1. In einem Irrtume befindet sich Aratos auch hin- VIII. 1 sichtlich des Sternbestandes der Argo. Er behauptet nämlich, an derselben sei der Teil von dem vorderen Ende bis zum Mastbaume sternlos, indem er also sagt:

349 Trübe zum Teil und ledig der Sterne am Vorderteil bis zum
Mastbaum fährt sie dahin; im übrigen funkelt sie prächtig.

Nämlich die an der Schnittlinie des Fahrzeugs stehenden hellen Sterne, von denen der nördliche ($\varkappa$) am Deck, der südliche (β) am Kiel steht, liegen (vom Mast) in beträchtlicher Entfernung nach Osten zu.

2. Nachdem Aratos in den folgenden Versen die übrigen 2 südlich der Ekliptik gelegenen Sternbilder besprochen hat, fährt er fort:

367 Jene auf kleinem Raume, in dürftigem Schimmer gelegen,
Drehn in der Mitte sich zwischen dem Steuer herum und dem Walfisch,
Unter die Rippen geschmiegt des hellgrauäugigen Hasen.

Hier scheint mir seinerseits ein Versehen vorzuliegen (dies dürfte nämlich der richtige Ausdruck sein), wenn er annimmt, dafs die unbenannten Sterne zwischen dem Steuerruder und dem Walfisch liegen. Sie müssen nämlich 3

---

14. τρόπιδι A edd. | πρὸς ἀνατολὰς*] πρὸς ἀνατολὴν vulg. | 16. ἐφ' ἑξῆς LP[3]. ‖ 18. μετρίῳ B. ‖ 19. εἰλίσσ. B hic et infra.

αὐτοὺς μεταξὺ τοῦ Ποταμοῦ καὶ τοῦ Πηδαλίου κεῖσθαι. πρὸς μεσημβρίαν μὲν γὰρ τοῦ Ὠρίωνος ὁ Λαγωὸς κεῖται· τούτου δὲ ἔτι πρὸς μεσημβρίαν οἱ ἀνώνυμοι λεγόμενοι, τούτων δὲ πρὸς ἀνατολὰς τὸ πηδάλιον τῆς 4 *Ἀργοῦς. ἀπὸ δὲ τοῦ ἀριστεροῦ ποδὸς τοῦ Ὠρίωνος* 5 *ὁ Ποταμὸς ἕως μὲν τοῦ Κήτους πρὸς δύσιν καθήκει, μετὰ δὲ ταῦτα ἐπιστρέψας πρὸς ἀνατολὰς πάλιν ἐπι-* 5 *στρέφει πρὸς μεσημβρίαν καὶ δύσιν. αὐτὸς δὲ ὁ Ἄρατος τὸ Κῆτός φησι κεῖσθαι*

358 *βαιὸν ὑπὲρ Ποταμοῦ βεβλημένον ἀστερόεντος.* 10

δῆλον οὖν ὅτι τοὺς ὑπὸ τῷ Λαγωῷ ἀστέρας δεῖ κεῖσθαι 6 *μεταξὺ τοῦ Ποταμοῦ καὶ τοῦ Πηδαλίου. καὶ Εὔδοξος δέ, ὡς ἡμεῖς φαμεν, οὕτω λέγει, ἐν μὲν τῷ ἑνὶ συντάγματι τὸν τρόπον τοῦτον· „ὑπὸ δὲ τὸ Κῆτος ὁ „Ποταμὸς κεῖται, ἀρξάμενος ἀπὸ τοῦ ἀριστεροῦ ποδὸς* 15 *„τοῦ Ὠρίωνος· μεταξὺ δὲ τοῦ Ποταμοῦ καὶ τοῦ πηδα-„λίου τῆς Ἀργοῦς, ὑπὸ τὸν Λαγωόν, τόπος ἐστὶν οὐ* 7 *„πολύς, ἀμαυροὺς ἀστέρας ἔχων.“ ἐν δὲ τῷ ἑτέρῳ συντάγματί φησιν οὕτως· „μεταξὺ δὲ ⟨τοῦ Ποταμοῦ „καὶ⟩ τοῦ τῆς Ἀργοῦς πηδαλίου, ὑπὸ τὸν Λαγωόν,* 20 *„ἀμαυροὺς ἀστέρας ἔχων, ἐστὶν οὐρανὸς οὐ μέγας.“*

8 *Ὁ δὲ Ἄτταλος τούτου μὲν τοῦ παροράματος οὐκ ἐμνήσθη, δεόντως εἰρηκέναι νομίζων τὸν Ἄρατον· ἐπιλαμβάνεται δὲ αὐτοῦ, διότι ἀδυνάτως ἀνέστραπται ἐν τούτοις·*

367 *οἱ δ' ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ* 25
μεσσόθι Πηδαλίου καὶ Κήτεος εἱλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι Λαγωοῦ,
370 *νώνυμοι· οὐ γάρ τοί γε τετυγμένου εἰδώλοιο*

---

3. *πρὸς* om. Vat. ‖ 7. *μετὰ ταῦτα δὲ* B. ‖ 10. *βαιὸν*] *καὶ ὃν* B. ‖ 11. *λαγῷ* AB. ‖ 13. *τῷ ᾶ* B (P³ ᾱ^ω). ‖ 14. *τὸν* om. A. |

zwischen dem Fluſs und dem Steuerruder liegen. Denn südlich vom Orion liegt der Hase, und noch südlicher als dieser die sogenannten „unbenannten“, von diesen aus aber nach Osten das Steuerruder der Argo. Nun erstreckt 4 sich ferner vom linken Fuſse des Orion aus der Fluſs bis zum Walfisch nach Westen; nachdem er hierauf eine Biegung nach Osten gemacht hat, wendet er sich wieder nach Süden und Westen. Aratos sagt selbst, es liege 5 der Walfisch

358 Etwas über dem Fluſs, dem sternereichen, gelagert.

Folglich ist es klar, daſs die unter dem Hasen zu suchenden Sterne zwischen dem Fluſs und dem Steuerruder liegen müssen. Auch Eudoxos sagt so, wie wir angeben, und 6 zwar in der einen Abhandlung wie folgt: „Unter dem „Walfisch liegt der Fluſs, welcher von dem linken Fuſse „des Orion ausgeht; zwischen dem Flusse aber und dem „Steuerruder der Argo, unter dem Hasen, ist ein nicht „weiter Raum, welcher lichtschwache Sterne enthält.“ In der andern Abhandlung sagt er folgendermaſsen: 7 „Zwischen dem Flusse und dem Steuerruder der Argo, „unter dem Hasen, ist ein nicht groſser Himmelsraum, „welcher lichtschwache Sterne enthält.“

Attalos hat dieses Versehen nicht erwähnt, weil er 8 der Meinung ist, daſs Aratos recht habe. Dagegen spricht er den harten Tadel gegen ihn aus, daſs er in den folgenden Versen „eine unglaublich verwirrte Darstellung geliefert habe“:

367 Jene auf kleinem Raume, in dürftigem Schimmer gelegen,
Drehn in der Mitte sich zwischen dem Steuer herum und dem Walfisch,
Unter die Rippen geschmiegt des hellgrauäugigen Hasen,
370 Unbenannt; denn nicht mit eines leicht verständlichen Bildes

---

17. λαγὼ A. ‖ 18. πολὺ B. ‖ 25. μετριῳ B. ‖ 26. μέσσοι B. ‖ 28. τετυγμένοι A.

βέβληνται μελέεσσιν ἐοικότες, οἷά τε πολλὰ
ἑξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
ἀνομένων ἐτέων. τά τις ἀνδρῶν οὐκέτ' ἐόντων
ἐφράσατ'· οὐδ' ἐνόησεν ἅπαντ' ὀνομαστὶ καλέσσαι
375 ἤλιθα μορφώσας· οὐ γάρ κ' ἐδυνήσατο πάντων 5
οἰόθι κεκριμένων ὄνομ' εἰπεῖν οὐδὲ δαῆναι·
πολλοὶ γὰρ πάντη, πολέων δ' ἐπὶ ἶσα πέλονται
μέτρα τε καὶ χροιή, πάντες τε μὲν ἀμφιελικτοί.
τῷ καὶ ὁμηγερέας οἱ ἐείσατο ποιήσασθαι
380 ἀστέρας, ὄφρ' ἐπιτὰξ ἄλλῳ παρακείμενος ἄλλος 10
εἴδεα σημαίνοιεν· ἄφαρ δ' ὀνομαστὰ γένοντο
ἄστρα, καὶ οὐκέτι νῦν ὑπὸ θαύματι λάμπεται
ἀστήρ,
ἀλλ' οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισι
φαίνονται· τὰ δ' ἔνερθε διωκομένοιο Λαγωοῦ 15
385 πάντα μάλ' ἠερόεντα καὶ οὐκ ὀνομαστὰ φέρονται.

9 ταῦτα δὲ προενεγκάμενος ὁ Ἄτταλος ἐπιφέρει· „ἐν δὲ „τούτοις ἀδυνατώτερον ὁ ποιητὴς ἀνέστραπται, πολλάκις „ἐπὶ τὴν αὐτὴν διάνοιαν ἐπιφερόμενος καὶ οὐ δυνά„μενος τὸν λόγον εὐπεριγράφως ἐξενεγκεῖν. βούλεται 20 „γὰρ δηλῶσαι, διότι οἱ μεταξὺ τοῦ Κήτους καὶ τοῦ „Πηδαλίου τεταγμένοι ὑποκάτω τοῦ Λαγωοῦ ἐν οὐδενὶ
10 „ἄστρῳ καταριθμοῦνται, ἀλλ' εἰσὶν ἀνώνυμοι. πολλῶν „γὰρ ὑπαρχόντων ἀστέρων καὶ ἐνίων τὰ μεγέθη καὶ τὰ

2. στιχόωντο A. ‖ 3. ωνομένων ἐτέων B in textu, sed ἀνομένων ἐτέων in marg. add. L (m. 3) P³, ἀνομένων εἰέων in marg. M (m. 1) V, ἀνυμένων ἐτέων edd. | οὐκέτ' P¹P², οὐκ ἔτ' cett. ‖ 4. ἢ οὐδ' ἐνόησεν A, ἠδ' ἐν. edd. ‖ 5. κε δυνήσατο Vat., κε δυνήσαιτο P¹P², γ' ἐδυνήσατο B edd. ‖ 6. οἱ ὅθι A. ‖ 8. πάντες γε μὲν P¹P². | ἀμφιέλικτοι vulg. ‖ 9. ἀείσατο A. ‖ 10. ἐπιτάξ' ἄλλῳ B (ἐπιτάξ' ἄλλω M); signum' super ξ add. L (m. 3); ἐπιτὰξ, ἄλλῳ edd. ‖ 11. εἰδέα A. | ὀνομαστα (sic) hic et infra LP³V, ὀνόμ. M. | γένοιντο edd. ‖ 12. οὐκέτι Vat., οὐκ ἔτι cett. | ἐν

Gliedern vergleichbar liegen sie da, wie solche in Menge
Dicht aneinandergereiht vorbeiziehn auf ewig der gleichen
Bahn im Laufe der Jahre. Ein Mann aus geschwundener Vorzeit
Hat sie bestimmt; doch gedachte er nicht, sie all' zu benennen,
375 Als er genügend gestaltet; denn nicht wär's möglich gewesen,
Allen, die für sich stehn, einen Namen als Merkmal zu geben;
Viele ja stehn ringsum, und viele sind von ganz gleicher
Gröſse sowohl als Farbe, doch alle im Kreise sich drehend.
Drum auch gedacht' er die gruppenweis stehenden nur zu vereinen,
380 Daſs, wenn der eine zum andern in nahe Beziehung gesetzt sei,
Deutliche Bilder sie böten. Alsbald erhielt seinen Namen
Jedes Gestirn. Nicht glänzt heute mehr ein Stern zur Verwund'rung,
Sondern die meisten, gefügt in klar anschauliche Bilder,
Leuchten herab. Nur unter dem ewig verfolgten Hasen
385 Ist noch alles in Dunkel, und namenlos dreht sich's im Kreise.

Nachdem Attalos diese Verse angeführt hat, fährt er fort: 9
„Hier hat der Dichter eine ganz unglaublich verwirrte „Darstellung geliefert, indem er wiederholt auf denselben „Gedanken zurückkommt und das, was er meint, nicht „klar zum Ausdruck zu bringen vermag. Er will nämlich „darlegen, daſs die zwischen dem Walfisch und dem Steuer- „ruder stehenden Sterne unter dem Hasen in kein Stern- „bild eingereiht werden, sondern unbenannt sind. Denn 10 „da es viele Sterne giebt und manche gleiche Gröſse und

θαύματι B edd. ‖ 14. εἰδώλοιο A. ‖ 16. ἠερόεντα A. ‖ 22. ὑπὸ κάτω AV.

„χρώματα ὅμοια ἐχόντων, ὁ πρώτως διατάξας τὰ ἄστρα
„καὶ κατὰ συστάσεις ἑκάστοις ὄνομα περιθεὶς οὐκ ἂν
„ἠδυνήθη σποράδην αὐτῶν κειμένων τὴν ἐπίγνωσιν
„αὐτῶν λαμβάνειν, εἰ μὴ λαβὼν ἐξ αὐτῶν τοὺς δυνα-
„μένους μετ' ἀλλήλων διασημαίνειν τι τῶν ἄστρων, 5
„οὕτως κατωνόμασεν αὐτά."

11 Δοκεῖ δέ μοι πᾶν τοὐναντίον ὁ μὲν Ἄτταλος μὴ
κεκρατηκέναι τῆς τοῦ ποιητοῦ διανοίας, καὶ οὐ μόνον
τοῦτο, ἀλλὰ καὶ ἣν προέθετο διάνοιαν τῶν στίχων
ἀποδοῦναι μηδὲ ταύτην σαφῶς, ἀλλ' ἀσυνέτως ἐξενηνο- 10
χέναι, ὁ μέντοι γε Ἄρατος κεκρατημένως ἀποδεδωκέναι.
12 βούλεται γὰρ λέγειν, ὅτι μεταξὺ τοῦ Πηδαλίου καὶ
τοῦ Κήτους, ὑπὸ τὸν Λαγωόν, κεῖνται ἀστέρες ἀνώνυ-
μοι, ὀλίγοι τῷ πλήθει καὶ τῷ μεγέθει· οὐ γὰρ οὕτως
κεῖνται, ὥστε ἐκ τῆς θέσεως αὐτῶν ὁμοίως διαμορφω- 15
θῆναι ζῷα ἢ κατασκεύασμά τι, οἷά ἐστι τὰ λοιπὰ ἄστρα,
13 ἃ διετύπωσέ τις τῶν ἀρχαίων. οὐκέτι δὲ ἐπεβάλετο
πάντα διαμορφῶσαι· πολλῶν γὰρ ὄντων ἀστέρων τῶν
κατ' ἰδίαν διερριμμένων, οὐκ ἂν ἐδυνήθη ἑνὶ σχήματι
μεταλαβεῖν αὐτοὺς „ἤλιθα μορφώσας". δι' ἣν αἰτίαν 20
ἔδοξεν αὐτῷ τοὺς παρακειμένους πως ἀλλήλοις ἀστέρας
καὶ ὁμηγερέας τῷ ὀνόματι διαπλάσαι καὶ ὀνοματο-
ποιῆσαι.

14 Ἑξῆς δέ φησιν ὁ Ἄρατος περὶ τοῦ Θυμιατηρίου·

402 αὐτὰρ ὑπ' αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο, 25
Σκορπίου, ἄγχι νότοιο, Θυτήριον αἰωρεῖται.

---

1. ὁ πρῶτος A edd. ‖ 2. κατασυστάσεις AM. ‖ 3. ἐδυνήθη edd.
7. δέ] δή A. ‖ 10. μηδὲ P² Ur., μὴ δὲ cett. | ἀλλὰ συνετῶς AMV,
ἀλλασυνετως (sic) LP³. ‖ 11. κεκρατημένος A. ‖ 16. οἷα ἐστὶ A. |
17. οὐκ ἔτι B edd. ‖ 19. κατιδίαν Vat. P¹. ‖ 20. μεταβαλεῖν AB,
περιλαβεῖν coni. *Wilam.* et *Maass.* ‖ 21. πῶς A ed. pr. ‖ 22. τῷ

„Farbe haben, so hätte derjenige, welcher die Sternbilder „zuerst anordnete und gruppenweise allen einen Namen „verlieh, bei ihrer zerstreuten Lage unmöglich zu genauer „Kenntnis derselben gelangen können, wenn er nicht aus „ihnen diejenigen, welche miteinander verbunden irgend „ein Sternbild deutlich darstellen konnten, ausgewählt und „demgemäfs benannt hätte."

Es scheint mir aber ganz im Gegenteil Attalos die 11 Absicht des Dichters nicht verstanden zu haben, und nicht allein das, er scheint auch nicht einmal den Inhalt der Verse, den er voraussetzte, klar wiederzugeben, sondern höchst unverständlich ausgedrückt zu haben, während meines Erachtens Aratos ihn seiner Sache sich klar bewufst gegeben hat. Er will nämlich sagen, dafs zwischen 12 dem Steuerruder und dem Walfisch, unter dem Hasen, unbenannte Sterne liegen, gering an Zahl und Gröfse; sie liegen nämlich nicht so, dafs vermöge ihrer Stellung Lebewesen oder irgend ein Gegenstand mit gleicher Deutlichkeit Gestalt erhalten, wie dies bei den übrigen Sternbildern der Fall ist, welche ein Mann in grauer Vorzeit geschaffen hat. Sein Bestreben war jedoch nicht weiter 13 darauf gerichtet, alles in Gestalten zusammenzufassen; denn da es viele Sterne giebt, welche ganz zusammenhangslos zerstreut sind, so hätte er sie unmöglich zu einheitlichen Figuren zusammenfassen können mit dem Erfolge, sie „genügend gestaltet" zu haben. Aus diesem Grunde beschlofs er, nur den in irgend welcher „Beziehung" zu einander stehenden und vermöge ihrer Lage „gruppenweise" zusammengehörigen Sternen durch die Benennung Gestalt und geeigneten Namen zu verleihen.

3. Weiterhin sagt Aratos über den Altar: 14

402 Dicht gleich unter dem funkelnden Stachel des greulichen Untiers,
Des Skorpions, im Bereiche des Südens, da schwebt der Altar hin.

ὀνόμ.] *τῷ σχήματι* coni. *Maass.* ‖ 25. *αὐτὰρ*] *αυται* (sic) L, *αὖται* P[3]MV. ‖ 26. *ἀγχινότοιο* A. | *αἰωρῆται* A.

τοῦ δ' ἤτοι ὀλίγον μὲν ἐπὶ χρόνον ὑψόθ' ἐόντος
405 πεύσεαι· ἀντιπέρην γὰρ ἀείρεται Ἀρκτούροιο·
καὶ τοῦ μὲν μάλα πάγχυ μετήοροί εἰσι κέλευθοι
Ἀρκτούρου, τὸ δὲ θᾶσσον ὑφ' ἑσπερίην ἅλα νεῖται.

ἐν δὲ τούτοις δοκεῖ μοι ἀγνοεῖν ὁ Ἄρατος ὑπολαμ- 5
βάνων, ὅσον ἀπέχει ὁ Ἀρκτοῦρος ἀπὸ τοῦ ἀεὶ φανεροῦ
πόλου, τοσοῦτον ἀπέχειν καὶ τὸ Θυμιατήριον ἀπὸ τοῦ
15 νοτίου πόλου. ὁμοίως δὲ καὶ ὁ Ἄτταλος, ὡς ἂν συν-
αποφαινόμενος αὐτῷ, ἀγνοεῖ. ἐξηγούμενος γὰρ τὴν
διάνοιαν τῶν εἰρημένων στίχων λέγει οὕτως· „περὶ 10
„δὲ τοῦ Θυμιατηρίου ποιούμενος τὸν λόγον φησὶν
„αὐτὸ κεῖσθαι πρὸς τὸν ἀφανῆ πόλον οὕτως ἔχον, ὡς
„ἀστὴρ ὁ καλούμενος Ἀρκτοῦρος πρὸς τὸν φανερὸν
„κεῖται πόλον. διό φησι τοῦ Θυμιατηρίου τὴν ὑπὲρ
„γῆς φορὰν βραχεῖαν εἶναι, τοῦ δὲ Ἀρκτούρου πολλήν.“ 15
16 Ψευδῶς δὲ διαλαμβάνουσι τὸν Ἀρκτοῦρον ἴσον
ἀπέχειν ἀπὸ τοῦ βορείου πόλου καὶ τὸ Θυμιατήριον
ἀπὸ τοῦ νοτίου. πρῶτον μὲν γὰρ οἱ ἐν τῷ Θυμιατηρίῳ
ἀστέρες οὐκ ἐπὶ τοῦ αὐτοῦ παραλλήλου κεῖνται, ἀλλὰ
πολλῷ εἰσιν ἀλλήλων οἱ μὲν νοτιώτεροι, οἱ δὲ βορειό- 20
τεροι· ἔπειτα ἐὰν τοῦτο παραπέμψαντες ποιώμεθα
τὴν σύγκρισιν πρὸς τὸν μέσον μάλιστα τῶν ἐν τῷ
Θυμιατηρίῳ, οὐδ' οὕτως ἐστὶν ὑγιὲς τὸ λεγόμενον· ὁ
μὲν γὰρ Ἀρκτοῦρος ἀπὸ τοῦ βορείου πόλου ἀπέχει
μοίρας νθ', ὁ δὲ ἐν μέσῳ τῷ Θυμιατηρίῳ λαμπρὸς 25
17 ἀστὴρ ἀπὸ τοῦ νοτίου πόλου ἀπέχει μοίρας μς'. πολλῷ
οὖν πλέον ἀπέχει ὁ Ἀρκτοῦρος τοῦ Θυμιατηρίου· καὶ

---

1. δή τοι B edd. ‖ 2. πεύσεε Vat. P[1]. | ἀρκτούροις Vat., ἀρκτούριο M. ‖ 13. πρὸς] περὶ edd. ‖ 14. ὑπὲρ γῆν B. ‖ 19. ἐπὶ τοῦ αὐτοῦ corr. *Scal.*, ἐπὶ ταυτοῦ A, ἐπὶ τούτου τοῦ B edd. ‖

Diesen, wiewohl er nur kurze Zeit in der Höhe verweilet,
405 Findest du leicht; denn genau gegenüber erhebt sich Arkturos.
Diesem verläuft seine Bahn in mächtiger Höhe am Himmel,
Während der andere bald in die westliche Salzflut hinabtaucht.

Hier ist meines Erachtens Aratos in einem Irrtume befangen, wenn er annimmt, daſs der Abstand, welchen der Arktur von dem immer sichtbaren Pol hat, ebenso groſs sei, wie der des Altars von dem südlichen Pol. Ganz in **15** demselben Irrtume befindet sich aber auch Attalos, indem er ihm ohne Bedenken beipflichtet. Zur Erklärung des Inhalts der mitgeteilten Verse spricht er sich nämlich folgendermaſsen aus: „In der auf den Altar bezüglichen „Stelle behauptet er, daſs derselbe zum unsichtbaren Pol „in genau dem Verhältnis liege, wie der sogenannte Arktur „zum sichtbaren Pol liegt. Deshalb, sagt er, sei der „Bogen des Altars über der Erde kurz, der des Arktur „dagegen groſs."

Die von beiden gemachte Annahme, daſs der Arktur **16** ebenso weit vom nördlichen Pol entfernt sei, wie der Altar vom südlichen, ist aber falsch. Denn erstens liegen die Sterne im Altar nicht auf einunddemselben Parallelkreise, sondern differieren untereinander infolge teils südlicherer, teils nördlicherer Lage bedeutend; zweitens ist selbst dann, wenn wir hiervon absehen und nur den Stern (α), welcher ungefähr der mittelste von den im Altar stehenden Sternen ist, in Vergleich ziehen, die Behauptung nicht stichhaltig. Denn der Arktur ist vom nördlichen Pol 59^0 entfernt, während der helle Stern (α) in der Mitte des Altars vom südlichen Pol nur 46^0 absteht. Folglich hat der Arktur einen viel gröſseren Ab- **17** stand als der Altar. Und nicht nur einen gröſseren Ab-

---

21. ἔπειτ' Vat. | ποιῶμεν B edd. ‖ 22. τὸν μέσον*] τὸ μέσον vulg. 25. ὁ δ' ἐν A.

οὐ μόνον γε τοῦ Θυμιατηρίου πλεῖον ἀπέχει, ἀλλὰ καὶ αὐτοῦ τοῦ Σκορπίου, ὑφ' ᾧ κεῖται τὸ Θυμιατήριον, χωρὶς τῶν ἐν τῷ στήθει καὶ τῷ μετώπῳ αὐτοῦ κειμένων ἀστέρων καὶ ἔτι ἑνός, τοῦ πρώτου μετὰ τὸ στῆθος σφονδύλου· ὁ μὲν γὰρ δεύτερος μετὰ τὸ στῆθος σφόνδυλος ἀπέχει ἀπὸ τοῦ νοτίου πόλου μοίρας νθ', ὅσας καὶ ὁ Ἀρκτοῦρος ἀπὸ τοῦ βορείου πόλου· οἱ δὲ λοιποὶ ἔλασσον τούτου ἀπέχουσι, καὶ ὁ νοτιώτατος αὐτῶν ἀπέχει μοίρας νβ' γ''.

18 Εἰπὼν δὲ ὁ Ἄρατος περὶ τοῦ Θυμιατηρίου, διότι, ἐπὰν συμφανὲς γένηται ἀπ' ἄρκτου „νεφέλῃ πεπιεσμένον", τότε δεῖ νότον προσδέχεσθαι, ἐπιφέρει ἑξῆς περὶ τοῦ Κενταύρου τὸν τρόπον τοῦτον·

431 εἰ δέ τοι ἑσπερίης μὲν ἁλὸς Κενταύρου ἀπείη
ὦμος, ὅσον προτέρης, ὀλίγη δέ μιν εἰλύοι ἀχλὺς
αὐτόν, ἀτὰρ μετόπισθεν ἐοικότα σήματα φαίνοι
νὺξ ἐπὶ παμφανόωντι Θυτηρίῳ, οὔ σε μάλα χρὴ
435 εἰς νότον, ἀλλ' εὔροιο περισκοπέειν ἀνέμοιο.
δήεις δ' ἄστρον ἐκεῖνο δύω ὑποκείμενον ἄλλοις·
τοῦ γάρ τοι τὰ μὲν ἀνδρὶ ἐοικότα νειόθι κεῖται
Σκορπίου, ἱππούραια δ' ὑπὸ σφίσι Χηλαὶ ἄγουσιν.

19 ἐν δὲ τούτοις πρῶτον μὲν ποῖον ὦμον τοῦ Κενταύρου σημειοῦται, ἔστιν εἰπεῖν, ὡς οὐδαμῶς χωρὶς τοῦ ἑτέρου ὁ εἷς αὐτῶν ἠστέρισται, ἀλλ' ἀμφότεροι, ⟨οὐδ' ἀμ-

---

1. πλέον A. ‖ 5. 6. σπόνδ. B edd., praeterea σφόνδ. | μετὰ τὸ στῆθος post δεύτ. om. A. ‖ 14. εἰ δέ τοι κεν A, εἰ δέ κεν edd. | 15. ὀλίγην AB. | γέ μεν A. | εἰλύε A, ἰλύϊ B, εἰλύει edd., εἰλύοι coni. *Scal.* ‖ 16. μετ' ὄπισθεν A. | φαίνοι] τεῦχε A, τεύχοι edd. | 17. ἐπιπαμφ. B. ‖ 18. εὔροιο A. | περισκαπέειν LMV, περισκοπεύειν ed. pr. ‖ 20. τοῦ δήτοι τοῦ μὲν B, τοῦ δήτοι τὰ μὲν edd. | 21. ἱππουραῖα A edd. | ἄγχουσιν Vat. ‖ 23. σημειοῦται, ἔστιν]

stand als der Altar hat er, sondern einen gröfseren als selbst der Skorpion, unter welchem der Altar liegt, sieht man ab von den in dem Bruststück und der Stirn desselben stehenden Sternen und noch von dem einen (ε), dem ersten Glied nach dem Bruststück; denn das zweite Glied (μ) nach dem Bruststück ist vom südlichen Pol 59^0 entfernt, also genau so weit, wie der Arktur vom nördlichen Pol. Die übrigen sind weniger weit als dieser entfernt, der südlichste (ϑ) von ihnen nur $52^1/_3{}^0$.

4. Nachdem Aratos hinsichtlich des Altars die Angabe gemacht hat, dafs, wenn er von Norden her „durch eine Wolke bedrückt" (V. 416) sichtbar wird, dann Südwind zu erwarten steht, fährt er im weiteren Verlauf der Stelle bezüglich des Kentauren folgenderweise fort: 18

431 Wenn von der westlichen Flut der Kentaur mit der Schulter so fern ist,
Als von der, wo er aufging, und mäfsiger Nebel ihn selbst deckt,
Hinter ihm aber die Nacht noch ähnliche Zeichen hervorbringt
An des Altars hellstrahlendem Lichte, dann blicke nicht ängstlich
435 Dich nach dem Südwind um, denn es droht dir Sturm aus dem Osten.
Finden wirst du das Sternbild unter zwei andre gelagert:
Alles, was menschenähnlich daran dir erscheint, liegt unter
Dem Skorpion; die Teile vom Rofs überragen die Scheren.

Hier mufs er erstens angeben, welche Schulter des Kentauren er als Merkmal annimmt, da keineswegs nur eine von ihnen ohne die andere durch Sterne bezeichnet ist, sondern beide, aber auch nicht beide gleichzeitig kul- 19

σημείον τὲ γάρ έστιν A. | οὐκ ἔστιν coni. *Pet.* | χωρὶς om. A. || 24. ὑστέρισται A. | ἀλλὰ A.

φότεροι⟩ ἅμα μεσουρανοῦσιν, ὥστε ἀδιάφορον ἢ ἐπὶ τοῦ ἑνὸς εἰπεῖν ἢ ἐπ' ἀμφοτέρων οὕτως· ἱκανὸν γὰρ διεστήκασιν οἱ ὦμοι τοῦ Κενταύρου ἀπ' ἀλλήλων ὡς
20 *ἀπ' ἀνατολῆς πρὸς δύσιν. ἐὰν δὲ ὁ ὦμος τοῦ Κενταύρου ἴσον ἀπ' ἀνατολῆς καὶ δύσεως ἀπέχῃ, ὅπερ ἐστὶ τὸ* 5 *αὐτὸ τῷ „ἀπὸ ἑσπερίης", ὃ δὴ γίνεται μεσουρανοῦντος αὐτοῦ, κἂν ἐπιγένηται τὰ ὅμοια σημεῖα τοῖς ἐπὶ τοῦ Θυτηρίου, τότε εὗρον, ἀλλ' οὐ νότον δεῖ προσδέχεσθαι.*

21 *Χωρὶς δὲ τούτων ὁλοσχερῶς ἀγνοεῖ, λέγων τὸν Κένταυρον ὑπὸ τῷ Σκορπίῳ καὶ ταῖς Χηλαῖς κεῖσθαι·* 10 *ὅλος γὰρ σχεδὸν ὑπὸ τῇ Παρθένῳ κεῖται, πλὴν ὅσον ὁ δεξιὸς ὦμος καὶ ἡ δεξιὰ χεὶρ καὶ τὰ ἐμπρόσθια*
22 *σκέλη τοῦ ἵππου ὑπὸ τὰς Χηλὰς τέτανται. ὁ γὰρ ἑπόμενος μάλιστα τῶν ἐν τῇ κεφαλῇ ἀστὴρ ἐπέχει Παρθένου μοίρας κθ', ὁ δὲ ἐπὶ τοῦ δεξιοῦ ὤμου* 15 *ἐπέχει Χηλῶν μοίρας δ', ὁ δὲ νοτιώτερος τῶν ἐν τοῖς ὀπισθίοις σκέλεσιν ἐπέχει Παρθένου περὶ μοίρας ιγ'. πῶς οὖν δυνατὸν τὰ μὲν ὅμοια τῷ ἀνθρώπῳ μέρη τοῦ Κενταύρου ὑπὸ τῷ Σκορπίῳ κεῖσθαι, τὰ δὲ ἱππούραια ὑπὸ ταῖς Χηλαῖς; παραπέμπει δὲ καὶ τοῦτο ὁ Ἄτταλος,* 20 *ὡς εὖ εἰρηκότος αὐτοῦ.*

23 *Ἀκολούθως δὲ τούτοις ἠγνόηται καὶ τὸ ἐπιφερόμενον παρ' αὐτοῦ·*

439 *αὐτὰρ ὁ δεξιτερὴν αἰεὶ τανύοντι ἔοικεν*
ἀντία δινωτοῖο Θυτηρίου· 25

μεταξὺ γὰρ τῆς δεξιᾶς χειρὸς καὶ τοῦ Θυ⟨μια⟩τηρίου τό τε Θηρίον ὅλον κεῖται καὶ τοῦ Σκορπίου τὰ πλεῖστα

---

2. *εἰπεῖν* om. B. | 2—4. *ἱκανὸν γὰρ — πρὸς δύσιν*] hoc loco inserenda esse videbantur verba, quae praebent post *προσδέχεσθαι* AB edd. ‖ 5. *ἀπὸ ἀνατ.* AB. | *ἀπέχει* Vat. | *ὅπέρ ἐστι* AB ed. pr. ‖ 7. *κἂν*] *καὶ* B. ‖ 8. *εὗρον* Vat. | *δεῖν* scrib. esse

minieren, sodaſs es gleichgültig wäre, ob man von der einen oder beiden eine so bestimmte Angabe macht; denn die Schultern des Kentauren stehen in der Richtung von Osten nach Westen ziemlich weit voneinander ab. Wenn 20 aber die Schulter des Kentauren, sagt er, gleichweit von Osten wie von Westen entfernt ist (denn dies besagt eben der Ausdruck „von der westlichen Flut"), was natürlich der Fall ist, wenn sie kulminiert, und wenn hierbei die gleichen Erscheinungen eintreten, wie an dem Altar, dann stehe Ostwind, nicht Südwind zu erwarten.

Hierzu kommt noch ein zweiter Irrtum. Durchaus 21 irrig ist nämlich die Behauptung, daſs der Kentaur unter dem Skorpion und unter den Scheren liege. Er liegt nämlich fast in seiner ganzen Ausdehnung unter der Jungfrau, nur daſs die rechte Schulter, die rechte Hand und die Vorderbeine des Pferdes sich unter die Scheren erstrecken. Denn der am meisten östlich stehende Stern (h) 22 von denen im Kopfe liegt auf dem Meridian von ♍ 29^0, der in der rechten Schulter (ϑ) auf dem von ♎ 4^0, während der südlichere (β Crucis) von den Sternen in den Hinterbeinen etwa auf dem Meridian von ♍ 13^0 liegt. Wie ist es also möglich, daſs die menschenähnlichen Teile des Kentauren unter dem Skorpion, die „Teile vom Roſs" dagegen unter den Scheren liegen? Auch diese Angabe läſst Attalos ungerügt, weil er eben annimmt, daſs es damit seine Richtigkeit habe.

In den unmittelbar folgenden Versen ist ein Irrtum 23 auch in dieser von ihm gebrachten Schilderung enthalten:

439 Aber er streckt, so scheint es, in ewiger Ruhe die Rechte
Hin nach dem rundlich gebildeten Altar.

Zwischen der rechten Hand und dem Altar liegt nämlich nicht nur der ganze Wolf, sondern auch der gröſste Teil

videtur. ‖ 14. 16. *ἀπέχει* A. | *μοίρας δ'**] *μοῖ ζ'* vulg. ‖ 17. *ἀπέχει* A edd. ‖ 19. *δ' ἱππ.* A. | *ἱππουραῖα* A Ur. ‖ 21. *ὡς εὑρηκότος* B (*εὐρ.* M). ‖ 23. *παρ'*] *ὑπὲρ* A. ‖ 24. *διξιτερὴν* A. ‖ 25. *δινωτοῖο* corr. *Scal.*, Ur., *δεινωτοῖο* A, *δὴ νώτοιο* B (*δὴ νωτοιο* L) ed. pr.

μέρη. ἡ μὲν γὰρ δεξιὰ χεὶρ περὶ τὴν η΄ μοῖραν τῶν Χηλῶν κεῖται, τὸ δὲ Θυμιατήριον ὑπὸ τοῖς ἐσχάτοις μέρεσι τοῦ Σκορπίου, ὡς καὶ αὐτὸς ὁ Ἄρατος λέγει·

402 *αὐτὰρ ὑπ' αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο,*
Σκορπίου, ἄγχι νότοιο, Θυτήριον αἰωρεῖται. 5

Cap. IX.

1 *Ἐν δὲ τοῖς ἑξῆς περὶ τῶν τροπικῶν καὶ τοῦ ἰσημερινοῦ καὶ τοῦ ζῳδιακοῦ κύκλου λέγων φησίν·*

467 *αὐτοὶ δ' ἀπλατέες καὶ ἀρηρότες ἀλλήλοισι*
πάντες, ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρονται. 10

γραφομένου δὴ διχῶς καὶ ἐν οἷς μέν· „αὐτοὶ δ' ἀπλατέες", ἐν οἷς δέ· „αὐτοὶ δὲ πλατέες", ὁ Ἄτταλός φησι βέλτιον εἶναι „αὐτοὶ δὲ πλατέες". „καὶ γὰρ οἱ „ἀστρολόγοι, φησί, πλατεῖς ὑποτίθενται τούς τε τροπι„κοὺς καὶ τὸν ἰσημερινὸν καὶ τὸν ζῳδιακὸν διὰ τὸ 15 *„τὸν ἥλιον τὰς τροπὰς μὴ ἀεὶ ἐπὶ τοῦ αὐτοῦ κύκλου „ποιεῖσθαι, ἀλλὰ ποτὲ μὲν νοτιώτερον, ποτὲ δὲ βορειό-*
2 *„τερον." καὶ ὅτι γίνεται τοῦτο, καὶ Εὔδοξός φησι. λέγει γοῦν ἐν τῷ Ἐνόπτρῳ οὕτως· „φαίνεται δὲ „διαφορὰν τῶν κατὰ τὰς τροπὰς τόπων καὶ ὁ ἥλιος* 20 *„ποιούμενος, ἀδηλοτέραν δὲ πολλῷ καὶ παντελῶς „ὀλίγην."*

3 *Δοκεῖ δή μοι καὶ ἐν τούτοις ὁ Ἄτταλος ἀγνοεῖν, ὑπολαμβάνων τὸν ἥλιον ποτὲ μὲν νοτιωτέρας, ποτὲ δὲ βορειοτέρας ποιεῖσθαι τὰς τροπάς, καὶ διὰ τοῦτο δεῖν* 25

---

1. *περὶ τὴν η΄ μοῖραν**] *περὶ τὰ μέρη* vulg.; *περὶ τὰ πρῶτα μέρη* coni. *Maass.* ‖ 5. *αἰώρηται* A Ur., *αἰώρειται* ed. pr. ‖ 8. *κύκλου* om. B. ‖ 9. *δὲ πλατέες* B. ‖ 12. 13. *ὁ Ἄτταλος — δὲ πλατέες*

des Skorpions. Denn die rechte Hand (η) liegt etwa auf dem Meridian von ♎ 8⁰, der Altar aber erst unter den letzten Teilen des Skorpions, wie auch Aratos selbst sagt:

402 Dicht gleich unter dem funkelnden Stachel des greulichen Untiers,
Des Skorpions, im Bereiche des Südens, da schwebt der Altar hin.

II. Die Sterne auf den Kreisen des Himmels.

Vorbemerkungen.

1. In dem folgenden Abschnitt, welcher von den Wendekreisen, dem Äquator und der Ekliptik handelt, sagt Aratos: IX. 1

467 Unbreit aber sie selbst, und wohl aneinander gefüget
Alle die Kreise, an Gröfse je zwei miteinander vergleichbar.

Es giebt hier zwei Lesarten: in einigen Handschriften steht „Unbreit aber sie selbst", in anderen „Und breit aber sie selbst". Von diesen erklärt Attalos für die bessere „Und breit aber sie selbst". „Denn die Astro-„nomen", sagt er, „legen den Wendekreisen, dem Äquator „und der Ekliptik eine gewisse Breite bei, und zwar des-„wegen, weil die Sonne die Wenden nicht immer auf „demselben Kreise bewirkt, sondern bald etwas südlicher, „bald etwas nördlicher." Dafs letzteres der Fall sei, be- 2 hauptet auch Eudoxos; er sagt wenigstens im „Spiegel" also: „Eine Abweichung im Raume hinsichtlich der Wende-„punkte beobachtet man auch an der Sonne, nur ist die-„selbe viel weniger bemerkbar und überhaupt ganz gering."

Jedenfalls scheint mir Attalos auch in dieser Hinsicht 3 in einem Irrtume befangen zu sein, wenn er annimmt, dafs die Sonne bald etwas südlicher, bald etwas nördlicher die Wenden bewirke, und dafs deswegen den Kreisen

om. B. ‖ 15. *διὰ τὸ τὸν**] *διὰ καὶ τὸν* A, *καὶ τὸν* B edd. ‖ 20. *τὰς* om. A edd.

τοὺς κύκλους πλατεῖς ὑποτίθεσθαι. εἰ γὰρ μὴ τὸν διὰ μέσων τῶν ζῳδίων φέρεται κύκλον ὁ ἥλιος, ἀλλὰ παραλλάσσει τοῦτον πρὸς ἄρκτους καὶ πρὸς μεσημβρίαν, ὡς καὶ ἡ σελήνη, δῆλον ὅτι καὶ ἡ ἀπὸ τῆς γῆς σκιὰ
4 ὁμοίως αὐτὸν παραλλάσσει. τούτου δὲ γινομένου ἔδει 5 τὰς τῆς σελήνης ἐκλείψεις πολὺ διαφωνεῖν πρὸς τὰς συνταςσομένας ὑπὸ τῶν ἀστρολόγων προρρήσεις, ὑποτιθεμένων γε δὴ αὐτῶν ἐν ταῖς πραγματείαις τὸ μέσον τῆς σκιᾶς φέρεσθαι ἐπὶ τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου· οὐ διαφωνοῦσι δὲ πλέον ἢ δακτύλοις 10 δυσί, σπανίως δὲ σφόδρα ποτὲ πρὸς τὰς χαριέστατα
5 συντεταγμένας πραγματείας. τό γε μὴν λέγειν τηλικοῦτον πλάτος ἔχειν καὶ τοὺς κύκλους ἴσον ἐστὶ τῷ ἀπλατεῖς αὐτοὺς ὑποτίθεσθαι, χωρὶς τοῦ καὶ αὐτὸ τοῦτο ἄδηλον εἶναι, πότερον παρὰ τὴν τοῦ ἡλίου 15 κίνησιν ἢ παρὰ τὴν τῆς σελήνης τὰ μεγέθη τῶν τῆς
6 σελήνης ἐκλείψεων ἐπὶ τοσοῦτον διαφωνεῖ. ἔπειτα τοὺς τροπικοὺς μόνον διὰ τοῦτο πλατεῖς ὅ τε Ἄρατος ἔλεγεν ⟨ἂν⟩ καὶ οἱ μαθηματικοὶ ὑπετίθεντο, τὸν δὲ ἰσημερινὸν οὐκέτι. καθόλου τε οἶμαι τοὺς μαθημα- 20 τικοὺς ἅπαντας τοὺς εἰρημένους ⟨κύκλους⟩ ἀπλατεῖς ὑποτίθεσθαι, τοὺς τροπικοὺς καὶ τὸν ἰσημερινὸν καὶ τὸν ἀεὶ φανερὸν καὶ τὸν ἀεὶ ἀφανῆ. οὐδὲ γὰρ ἐπινοῆσαι δυνατόν ἐστι τούτους πλάτος ἔχοντας· τὸ γὰρ ἴδιον ἑκάστου περινοητικὴν καὶ ἀπλατῆ γραμμὴν ἔχον 25
7 θεωρεῖσθαι συμβέβηκεν. ἔτι δὲ καὶ ὅταν λέγωσι τὸν ἰσημερινὸν καὶ τὸν ζῳδιακὸν τῶν μεγίστων εἶναι ἐν

---

1. διὰ μέσον B ed. pr. hic et infra. ‖ 3. τούτον edd. ‖ 4. δηλονότι A. ‖ 5. αὐτὸν] αὐτοῖς B edd. ‖ 8. γε om. edd. ‖ 9. τῶν ζωδίου A. ‖ 11. χαριεστάτας AB. ‖ 20. οὐκέτι Vat. P[1], οὐκ ἔτι cett. ‖ 23. ἀειφανῆ A. ‖ 24. φανερὸν δυνατόν B. ‖ τούτου MV, ς incertum add. P[3]. ‖ 25. περινοητὴν Ur. ‖ ἔχον] ἔχειν leg. esse vid.

eine gewisse Breite beigelegt werden müsse. Wenn nämlich die Sonne in ihrer Bahn nicht genau den Kreis durch die Mitte der Tierkreisbilder einhält, sondern von diesem bald nördlich bald südlich abweicht, wie dies der Mond thut, so ist es klar, dafs auch der Erdschatten eine dementsprechende Abweichung von diesem Kreise erfahren mufs. Wenn dies aber der Fall wäre, so müfsten die 4 Mondfinsternisse bedeutend abweichen von den Vorausankündigungen der Astronomen, welche bekanntlich ihren Rechnungen als Voraussetzung wenigstens die Annahme zu Grunde legen, dafs das Schattencentrum sich auf dem Kreise durch die Mitte der Tierkreisbilder (d. i. in der Ekliptik) bewege. Es betragen aber die Abweichungen (von der Berechnung) nicht mehr als zwei Zoll, aber nur sehr wenig bisweilen bei den mit gröfster Genauigkeit angestellten Berechnungen. Wollte man nun sagen, dafs 5 eine dementsprechende Breite auch die Kreise hätten, so wäre dies gleichbedeutend damit, ihnen keine Breite beizulegen; ganz abgesehen davon, dafs gerade diese Frage dann völlig unaufgeklärt wäre, ob die Gröfsen der Mondfinsternisse infolge der Sonnenbewegung oder infolge der Mondbewegung eine Abweichung von dem obengenannten Betrage erfahren. Ferner hätte Aratos aus diesem Grunde 6 nur die Wendekreise als „breit“ bezeichnen können, wie auch die Mathematiker nur diese mit ihrer Annahme im Auge haben konnten, den Äquator schon nicht mehr. Überhaupt meine ich, dafs die Mathematiker allen den genannten Kreisen, den Wendekreisen, dem Äquator, dem immer sichtbaren und dem immer unsichtbaren Kreise, keine Breite beilegen. Ist es ja doch gar nicht denkbar, dafs dieselben eine Ausdehnung in die Breite haben; denn die besondere Eigenschaft eines jeden, eine nur gedachte Linie ohne Ausdehnung in die Breite zu enthalten, müfste dann Gegenstand der Sichtbarkeit werden. Ferner aber 7 erklären sie auch dadurch, dafs sie die Sätze aufstellen: Äquator und Ekliptik gehören zu den gröfsten Kreisen auf der Kugel, die Kugel wird von jedem derselben in

τῇ σφαίρᾳ κύκλων, καὶ διχοτομεῖσθαι τὴν σφαῖραν ὑφ᾽ ἑκατέρου αὐτῶν, καὶ τὸ αὐτὸ κέντρον <εἶναι> τοῦ ζῳδιακοῦ καὶ τοῦ ἰσημερινοῦ καὶ τοῦ ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ, καὶ τὸν ζῳδιακὸν ἐφάπτεσθαι τῶν τροπικῶν καθ᾽ ἓν σημεῖον, καὶ ἄλλα πλείονα τοιαῦτα, 5
8 ἀπλατεῖς αὐτοὺς καὶ διὰ τούτων σημαίνουσιν. οὐδὲν γὰρ τῶν προειρημένων ὑγιῶς ἂν λέγοιτο πλάτος αὐτῶν ἐχόντων· ἰσημερίαν τε οὐκ ἂν ἐν μιᾷ ἡμέρᾳ ἦγεν, ἀλλ᾽ ἐν πλείοσι· καὶ γὰρ ὁ ἥλιος πλείονας ἂν τῆς μιᾶς ἡμέρας ἐν τῷ ἰσημερινῷ ἐποιεῖτο πλάτος γε δὴ ἔχοντος 10 αὐτοῦ, τά τε γνωμονικὰ θεωρήματα πάντες γράφουσιν ἀπλατεῖς πάντας τοὺς κύκλους ὑποτιθέμενοι, ὡς ἂν τῶν μὲν ὑπὸ τοῦ κέντρου τοῦ ἡλίου γραφομένων, τῶν δὲ ὑπὸ τῆς ἡμετέρας ὄψεως.

9 Ὅτι δὲ καὶ ὁ Ἄρατος τοῖς μαθηματικοῖς ἀκολούθως 15 ἀπλατεῖς αὐτοὺς νοεῖ ὑπάρχοντας, μάθοι ἄν τις ἔκ τε τοῦ περὶ τοῦ ἰσημερινοῦ λέγειν·

513 ἐν δέ οἱ ἤματα νυξὶν ἰσαίεται ἀμφοτέρῃσι
φθίνοντος θέρεος, τοτὲ δ᾽ εἴαρος ἱσταμένοιο·

οὐ γὰρ ἐπὶ μίαν μόνον ἡμέραν ἰσημερίαν ἂν ἦγεν ἔν 20 τε τῷ ἔαρι καὶ τῷ φθινοπώρῳ, ἀλλὰ καὶ πλείονας, εἰ
10 πλάτος εἶχε· καὶ πάλιν ἐκ τοῦ ἐπὶ τοῦ τροπικοῦ λέγειν·

497 τοῦ μέν, ὅσον τε μάλιστα, δι᾽ ὀκτὼ μετρηθέντος
πέντε μὲν ἔνδια στρέφεται καὶ ὑπέρτερα γαίης,
τὰ τρία δ᾽ ἐν περάτῃ· 25

---

7. τὸ πλάτος B edd. | αὐτὸν A (P² corr. m. 2). ‖ 11. πάν-τες*] πάντα vulg. ‖ 15. ὁ om. Ur. ‖ 16. μάθοι ἄν τις] ὅταν τι A. ‖ 18. ἤμαντα Vat. P¹, ἤμα//τα P², ἤματα B ed. pr. | ἰσαίνεται B edd. ‖ 19. τοτὲ corr. *Maass*, τότε vulg.; τοῦ τ᾽ ἔαρος coni. *Pet.* | ἱσταμ.] ἀρχομένοιο B. ‖ 20. ἂν om. B edd. ‖ 21. ἀέρι A. | καὶ ante πλ. om. Ur. | ἀλλ᾽ ἐπὶ πλείονας legend. esse vid. | πλείο-

zwei Hälften geteilt, ein gemeinsamer Punkt ist Centrum der Ekliptik, des Äquators, des Horizonts und des Meridians, die Ekliptik berührt die Wendekreise in einem Punkte, und ähnliche Sätze mehr, daſs ihnen eine Ausdehnung in die Breite nicht zukomme. Denn keiner der eben mitgeteilten Lehrsätze würde stichhaltig sein, wenn sie Ausdehnung in die Breite hätten. Weiter würde der Äquator Tag- und Nachtgleiche nicht in einem Tage bewirken, sondern in mehreren; denn die Sonne würde natürlich mehr Tage als den einen in ihm verweilen, wenn er Ausdehnung in die Breite hätte. Endlich nehmen alle Verfasser von Regeln für die Anfertigung von Sonnenuhren sämtliche Kreise ohne Breite an, von der richtigen Anschauung ausgehend, daſs die einen von dem Mittelpunkte der Sonne, die anderen von unserem Auge beschrieben werden. 8

Daſs aber auch Aratos im Anschlusse an die Mathematiker die Vorstellung hat, daſs sie „unbreit" seien, kann man daraus abnehmen, daſs er 9

erstens über den Äquator sagt:

513 In ihm werden die Tage den beiderlei Nächten gegleichet,
Einmal am Ende des Sommers, sodann im Beginne des Frühlings;

denn nicht bloſs einen Tag lang würde er Tag- und Nachtgleiche bewirken, im Frühling sowohl wie im Herbste, sondern mehrere, wenn er Ausdehnung in die Breite hätte; ferner daraus, daſs er

zweitens bezüglich des Wendekreises sagt: 10

497 Wenn du den Umfang desselben in acht Abschnitte zerteilest,
Drehen sich fünf dann über der Erde am Himmelsgewölbe,
Drei in der unteren Hälfte;

νος A. ‖ 24. *ἐνδιαστρέφ.* AB. ‖ 25. *τὰ τρία*] *καττρια* B (P[3] *καττρία*).

πλάτος γὰρ ἔχοντος αὐτοῦ καὶ διαιρεθέντος εἰς ὀκτὼ
⟨οὐ⟩ δυνατόν, εἶναι ὅλα τμήματα ἄνω τε καὶ κάτω
11 ἐγκεκλιμένου τοῦ κόσμου· ἀλλὰ μὴν καὶ περὶ τοῦ
ζῳδιακοῦ λέγων, ὁτὲ μὲν οὕτως·

541 ὅσσον δ' ὀφθαλμοῖο βολῆς ἀποτείνεται αὐγή, 5
ἑξάκις ἂν τόσση μιν ὑποδράμοι· αὐτὰρ ἑκάστη
ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα·

ὁτὲ δὲ οὕτως·

553 τοῦ δ' ὅσσον κοίλοιο κατ' Ὠκεανοῖο δύηται,
τόσσον ὑπὲρ γαίης φέρεται· πάσῃ δ' ἐπὶ νυκτὶ 10
ἓξ αἰεὶ δύνουσι δυωδεκάδες κύκλοιο,
τόσσαι δ' ἀντέλλουσι· τόσον δ' ἐπὶ μῆκος ἑκάστη
νὺξ αἰεὶ τετάνυσται, ὅσον τέ περ ἥμισυ κύκλου
ἀρχομένης ἀπὸ νυκτὸς ἀείρεται ὑψόθι γαίης·

οὐ πλάτος ἔχοντα, ἀλλὰ τοὐναντίον ἀπλατῆ διειληφέναι 15
12 μοι δοκεῖ. ἥ τε γὰρ βολὴ τοῦ ὀφθαλμοῦ εὐθεῖά ἐστι καὶ
αὕτη ἑξάκι καταμετρεῖ τὸν μέγιστον καὶ ἀπλατῆ κύκλον,
ἀλλ' οὐχὶ τὸν πλάτος ἔχοντα· τοῦ τε ζῳδιακοῦ καθ'
ἑκάστην ἡμέραν καὶ νύκτα ἡμικύκλιον ἀνατέλλει καὶ
δύνει, τοῦ ἡλίου ἐπὶ τοῦ ἀπλατοῦς καὶ διὰ μέσων 20
τῶν ζῳδίων φερομένου· ἐπὶ γὰρ τοῦ πλάτος ἔχοντος
13 οὐ δυνατὸν τοῦτο συμβαίνειν. καὶ ἐξ ἄλλων δὲ

4. ὅτε B edd. hic et infra. ‖ 5. ἀποτέμνεται adnotat *Pet.* ‖ 6. ἂν τόσση μιν] ἀντος ἡμῖν Vat. P[1], αὐτὸς ἡμῖν P[2], ἂν τόσσήμιν LMV, ἂν τόσσ' ἡμῖν P[3]. ‖ 9. κώλοιο B. ‖ 10. ἐπὶ] ἐνὶ B. ‖ 11. ἀεὶ MV. | δυωδεκάδος ed. pr. ‖ 12. τόσσον A. ‖ 13. τετάνυσται corr. *Scal.*, τετάνυται A ed. pr., αἰεί τε τάνυσται Ur., αἰεὶ τανυται (sic) LP[3], ἀεὶ τάνυται MV. | τόσσον τέ περ AB. 17. αὐτὴ AV edd., αυτη (sic) L. | ἑξάκισ P[2] (σ add. m. 2), ἑξάκις Ur. ‖ 20. διὰ μέσου A, διὰ μέσον B ed. pr.

denn wenn er Ausdehnung in die Breite hätte und dabei in acht Teile geteilt würde, so wäre es unmöglich, dafs sich bei schiefer Stellung der Weltkugel ganze Abschnitte oberhalb und unterhalb befänden;

drittens auch, wenn er von der Ekliptik sagt, und 11 zwar an der einen Stelle also:

541 Stelle dir vor den Weg, den das Auge vermag zu durchmessen:
Sechsmal so grofs ist der Kreis, wenn der Blick an demselben entlang läuft;
Jeglicher Strahl, gleich grofs, trennt je zwei himmlische Zeichen;

an einer anderen Stelle aber also:

553 Aber so viel von ihr in des Oceans Tiefen hinabtaucht,
Ebenso viel schwebt über der Erde; in jeder der Nächte
Sinken hinab stets sechs von den zwölf Abschnitten des Kreises,
Ebenso viel gehen auf; es erstreckt sich die Länge der Nacht stets
Über die Zeit, in welcher genau eine Hälfte des Kreises
Von dem Beginne der Nacht sich emporhebt über die Erde,

hat er meines Erachtens entschieden nicht angenommen, dafs sie Ausdehnung in die Breite habe, sondern im Gegenteil ohne solche sei. Denn was die erste Stelle anbelangt, 12 so ist der Blick des Auges eine gerade Linie, welche (als Radius) sechsmal den gröfsten Kreis mifst, insofern er keine Ausdehnung in die Breite hat, aber nicht, insofern er mit solcher behaftet ist. Was die andere Stelle betrifft, so geht von der Ekliptik jeden Tag und jede Nacht ein Halbkreis auf und einer unter, wobei sich die Sonne auf dem Kreise durch die Mitte der Tierkreisbilder fortbewegt, dem Ausdehnung in die Breite nicht eigen ist; denn bei einer Bahn, welche Ausdehnung in die Breite hätte, könnte diese Erscheinung unmöglich stattfinden. Auch noch aus mehreren anderen Stellen geht deutlich 13

πλειόνων φανερός ἐστιν ὁ Ἄρατος ἀπλατεῖς τοὺς κύκλους ὑποτιθέμενος ἀκολούθως τοῖς μαθηματικοῖς.

14 *Ἐν δὲ τοῖς ἑξῆς περὶ τοῦ γαλαξίου κύκλου εἰπὼν ἐπιφέρει, ὅτι ὄντων τεσσάρων κύκλων δύο τούτων ἴσοι εἰσίν, οἱ δὲ δύο πολλῷ ἐλάσσονες, λέγων οὕτως·* 5

477 *τῷ δ' ἤτοι χροιὴν μὲν ἀλίγκιος οὐκέτι κύκλος*
δινεῖται, τὰ δὲ μέτρα τόσοι πισύρων περ ἐόντων
οἱ δύο, τοὶ δέ σφεων μέγα μείονες εἱλίσσονται.

15 *οὐκ εὖ δέ μοι δοκεῖ λέγεσθαι οὐδὲ τοῦτο, ὅτι πολλῷ ἐλάσσονές εἰσιν οἱ τροπικοὶ τοῦ ἰσημερινοῦ καὶ τοῦ* 10 *ζῳδιακοῦ· ἔλασσον γὰρ ἢ τῷ ια´ μέρει λείπονται αὐτῶν.*

Cap. X.

Von der Argo soll, wie er behauptet, nur das Hinterteil mit dem Löwen aufgehen, während sie selbst, in der Gegend des Mastes halbiert, im Aufgange verbleibe, bis die Jungfrau vollständig aufgegangen sei. Attalos freilich, aufser stande, die Absicht des Dichters zu verstehen, in der Annahme, er sage, dafs, während die Jungfrau im Begriff sei aufzugehen, das Hinterteil bis zur Mitte des 39 40

ἀνατέταλκεν ἕως μέσου τοῦ ἱστοῦ, φησὶ τὸ „ἅπασα“
41 τῷ ἐσχάτῳ στίχῳ κενῶς προσκεῖσθαι. ἐκθέμενος γὰρ
τῶν προειρημένων στίχων τοὺς ἐσχάτους [ρ̅.], ἐπιφέρει
ταυτί· „ἐν δὲ τούτοις τὸ ‛ἅπασα’ προσαναπληρώματος
„ἔχει τάξιν· εἴτε γὰρ ἐπὶ τὴν Ἀργὼ μεταβιβάσειέ τις
„αὐτό, ποιῶν τὸν λόγον τοιοῦτον· ‛ἡ δὲ πᾶσα θέει
„γαίης ἱστὸν διχόωσα κατ' αὐτόν, Παρθένος ἦμος
„περαιόθεν ἄρτι γένηται’, ὁμολογουμένως ἀναπληρώ-
„ματος ἔχει τάξιν· εἴτ' ἐπὶ τὴν Παρθένον, τὸ αὐτὸ
„συμβήσεται, ἐὰν μή τις δέξηται, ὅτι ὅλην φησὶ τὴν 1
42 „Παρθένον ἀνατεταλκέναι· ὅπερ οὐ βούλεται λέγειν· εἰ
„γὰρ ἡ Παρθένος ὅλη ἀνατέταλκε, δῆλον ὅτι αἱ Χηλαὶ
„πρὸς τῷ ἀνατέλλειν εἰσί· κατὰ δὲ τοῦτον τὸν καιρὸν
„ὅλην φησὶ τὴν Ἀργὼ ἀνατεταλκέναι, λέγων οὕτως·

607 „οὐδ' ἂν ἐπερχόμεναι Χηλαί, καὶ λεπτὰ φάουσαι, 1
„ἄφραστοι παρίοιεν, ἐπεὶ μέγα σῆμα, Βοώτης,
„ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο·
„Ἀργὼ δ' εὖ μάλα πᾶσα μετήορος ἵσταται ἤδη.“

43 Δοκεῖ οὖν μοι πεπλανῆσθαι ὁ Ἄτταλος, οὐ συνιείς,
ὅτι ἐπιθέτως λέγεται ὑπὸ τοῦ ποιητοῦ τὸ „ἱστὸν 2
διχόωσα κατ' αὐτόν“, καὶ οὐχ, ὅτι „ἀνατέλλει ἕως
44 μέσου τοῦ ἱστοῦ“. ὁ δὲ ἑξῆς λόγος ἐστὶ τοιοῦτος· τῆς
Παρθένου ἀρχομένης ἀνατέλλειν ὅ τε Κύων ἀνατέταλκε
καὶ ἡ πρύμνα τῆς Ἀργοῦς· αὐτὴ μέντοι, ἡμίσεια οὖσα
ἕως τοῦ ἱστοῦ, ἀναφέρεται, ἕως ἂν ὅλη ἡ Παρθένος 2

---

1. τὸ ἅπασαν AB. ‖ 2. καινῶς A. ‖ 3. ρ̅. post ἐσχ. om. Ur. ‖ 4. πρὸς ἀναπλ. A. ‖ 5. μεταβιβάσειέν τις A. ‖ 6. τοιοῦτον] τοῦτον B. ‖ 8. ἄρα πληρώμ. B. ‖ 9. ἐπὶ τὴν Παρθένον*] ἐπὶ τῆς παρθένου vulg. ‖ 11. οὐ om. B edd. ‖ 12. ἡ] ἣν A. ‖ 13. πρὸς τὸ ἀν. B. ‖ 18. δ' οὐ μάλα edd. ‖ 19. συνεὶς A. ‖ 22. ὁ δὲ*] ὅ τε vulg. | ἔστι Vat. ‖ 24. αὕτη coni. *Maass.* | ἡμίσει A.

Mastes aufgegangen sei, behauptet, die Worte „im völligen Glanze" stehen im letzten Verse als ein bedeutungsloser Zusatz. Nachdem er nämlich von den oben angeführten 41 Versen die letzten erläutert hat, fährt er fort: „Hierin „nimmt der Ausdruck 'im völligen Glanze' die Stelle eines „Füllwortes ein; denn sei es, dafs man ihn auf die Argo „bezieht und folgende Wortstellung annimmt: 'Sie, im „völligen Glanze, streift den Erdrand, am Mast in der Mitte „zerteilt, wann erst die Jungfrau von unten emporstieg', „so nimmt es eingestandenermafsen die Stelle eines Füll- „wortes ein, sei es, dafs man (den Zusatz) auf die Jung- „frau bezieht, so kommt es auf dasselbe hinaus; man müfste „denn gerade annehmen, dafs er behaupte, die Jungfrau sei „ganz aufgegangen. Das will er aber entschieden nicht 42 „sagen; denn wenn die Jungfrau ganz aufgegangen ist, „dann sind natürlich die Scheren am Aufgehen. Dafs „aber zu diesem Zeitpunkte die Argo ganz aufgegangen „sei, behauptet er mit folgenden Worten:

607 „Nicht auch der kommenden Scheren Gestirn, wie dürftig es leuchtet,
„Geht leicht unbemerkt hin; denn ein deutliches Zeichen, Bootes,
„Steigt in ganzer Gröfse empor, bestrahlt von Arkturos;
„Ganz hat nun auch die Argo sich aufgeschwungen am Himmel."

Es scheint mir nun Attalos zu seinem Irrtume da- 43 durch veranlafst worden zu sein, dafs er nicht verstanden hat, dafs der Ausdruck „am Mast in der Mitte zerteilet" als Epitheton vom Dichter gebraucht wird und keineswegs bedeutet, dafs sie bis zur Mitte des Mastes aufgeht. Die weitere Betrachtung führt aber zu folgendem Er- 44 gebnis. Wenn die Jungfrau anfängt aufzugehen, ist der Grofse Hund vollständig aufgegangen, sowie das Hinterteil der Argo; sie selbst jedoch, nur als eine Hälfte bis zum Mast dargestellt, setzt den Aufgang fort, bis die Jung-

ἀνατείλῃ. κέχρηται δὲ τούτῳ τῷ σχήματι τῆς ἐκφορᾶς ὁ Ἄρατος καὶ ἐπὶ τοῦ Ἐνγόνασι, λέγων οὕτως·

618 τοῦ μὲν ἄρ' οἴη
κνήμη σὺν Χηλῇσι φαείνεται ἀμφοτέρῃσιν,
αὐτὸς δ' εἰς κεφαλὴν ἔτι που τετραμμένος ἄλλῃ 5
Σκορπίον ἀντέλλοντα μένει καὶ ῥύτορα τόξων·
οἵ γάρ μιν φορέουσι.

45 Τῶν γὰρ Χηλῶν ἀρχομένων ἀνατέλλειν τὸν Βοώτην φησὶν ὅλον ἀνατεταλκέναι καὶ τὴν Ἀργώ, τοῦ δὲ Ὕδρου τὰ πρὸς τὴν οὐρὰν μόνον ὑπὸ γῆς εἶναι· ἀνατεταλκέναι 10 δὲ τοῦ Ἐνγόνασι τὴν δεξιὰν κνήμην μόνον ἕως τοῦ γόνατος, τὸ δὲ λοιπὸν αὐτοῦ σῶμα πλὴν τῆς ἀριστερᾶς χειρὸς ⟨καὶ τῆς κεφαλῆς⟩ ὑπὲρ γῆν εἶναι τοῦ Σκορπίου πρὸς τῇ ἀνατολῇ ὄντος· τὴν δὲ ἀριστερὰν χεῖρα καὶ τὴν κεφαλὴν μετέωρον φαίνεσθαι τοῦ Τοξότου ἀνα- 15
46 τέλλοντος. ἀνατέλλειν δέ φησιν ἅμα ταῖς Χηλαῖς καὶ τὸ ἥμισυ τοῦ Στεφάνου καὶ τὴν οὐρὰν τοῦ Κενταύρου· δύνειν δὲ πάλιν τό τε σῶμα τοῦ Ἵππου ὅλον, καὶ τὴν οὐρὰν τοῦ Ὄρνιθος, καὶ τὴν κεφαλὴν τῆς Ἀνδρομέδας, καὶ τοῦ Κήτους τὸ ἀπὸ τῆς οὐρᾶς ἕως τῆς λοφίας, 20 τοῦ δὲ Κηφέως „κεφαλήν τε καὶ χεῖρα καὶ ὤμους", καὶ τὸ πλεῖστον μέρος τοῦ Ποταμοῦ. ὁμοίως δὲ καὶ ἐν τούτοις ὁ Ἄρατος τρόπον τινὰ παραγέγραφε τὰ τοῦ Εὐδόξου.

47 Τὰ μὲν οὖν λοιπὰ ὑπ' αὐτῶν ὑγιῶς εἴρηται. περὶ 25 δὲ τοῦ Κενταύρου ὁλοσχερῶς ἠγνοήκασιν· οὔτε γὰρ ἡ οὐρὰ αὐτοῦ καὶ καθόλου τὰ ὀπίσθια πρῶτα ἀνατέλλει, ἀλλὰ ὁ ἀριστερὸς ὦμος· πολλῷ γάρ ἐστι βορειό-

---

3. ἀρ' οἴη A, ἀροιη (sic) LP[3]. ‖ 4. χηλῇσιν B. | φαείνεται om. B. ‖ 5. ἐπιτουτετρ. LP[3]M, ἐπὶ τοῦ τετρ. V. ‖ 6. τόξον edd. |

frau ganz aufgegangen ist. Diese Form der Darstellung wendet Aratos auch beim Knieenden an, indem er also sagt:

618 von diesem nun einzig
Wird nur ein Bein erst sichtbar zugleich mit den Scheren, den beiden,
Aber er selbst, bis zum Haupte noch anderswohin gewendet,
Wartet, bis der Skorpion sich erhebt und der Spanner des Bogens;
Diese erst bringen ihn beide.

IV. Wenn nämlich die Scheren anfangen aufzugehen, sagt er, daſs der Bootes ganz aufgegangen sei und die Argo; von der Wasserschlange aber seien nur noch die Teile am Schwanze unter der Erde. Aufgegangen sei ferner vom Knieenden nur das rechte Bein bis zum Knie; der übrige Teil seines Körpers mit Ausnahme der linken Hand und des Kopfes sei erst über der Erde, wenn der Skorpion im östlichen Horizont stehe, die linke Hand und der Kopf aber seien am Himmel erst sichtbar bei dem Aufgange des Schützen. Aufgehen soll ferner zugleich mit den Scheren die Hälfte der Krone und der Schweif des Kentauren. Untergehen soll andrerseits der Leib des Pferdes vollständig, der Schwanz des Schwanes, der Kopf der Andromeda, vom Walfisch das Stück vom Schwanze bis zur Rückenflosse, vom Kepheus „Kopf, Hand und Schultern“, sowie der gröſste Teil des Flusses. In gleicher Weise wie oben hat auch hier Aratos die Darstellung des Eudoxos gewissermaſsen als Vorlage benutzt. 45 46

Das übrige ist von ihnen richtig dargestellt; über den Kentauren sind sie aber vollständig im Irrtume; denn weder gehen der Schweif oder überhaupt die hinteren Teile desselben zuerst auf, sondern die linke Schulter, da sie 47

---

7. *φορέουσαν* B, *φορέουσιν* edd. ‖ 13. *ὑπὲρ γῆν**] *ἔτι ὑπὸ γῆς* A, *ὑπὸ γῆς* B (om. *ἔτι*), *ἔτι ὑπὸ γῆν* edd. ‖ 22. *δὲ ἐν τούτοις καὶ* B edd. ‖ 27. *καὶ*] *οὔτε* B edd. | *πρῶτα**] *πάντα* vulg.

*τερος· οὔτε τῇ Παρθένῳ ἄρχεται συνανατέλλειν, ὥς
φασιν, ἀλλὰ ταῖς Χηλαῖς· ὁ γὰρ ἀριστερὸς ὦμος αὐτοῦ
48 συνανατέλλει τῇ ι′ μοίρᾳ τῶν Χηλῶν. τῆς δὲ Ἀνδρο-
μέδας οὐ μόνον ἡ κεφαλὴ δέδυκε τῶν Χηλῶν πρὸς
49 τῇ ἀνατολῇ οὐσῶν, ἀλλὰ καὶ αἱ χεῖρες ἀμφότεραι. τὸ* 5
*δὲ Κῆτος οὐ τῇ Παρθένῳ ἄρχεται ἀντικαταδύνειν, ὡς
οὗτοί φασιν, ἀλλὰ τῷ Λέοντι· τῶν γὰρ ἐν τῇ οὐρᾷ
αὐτοῦ δύο λαμπρῶν ὁ μὲν νοτιώτερος ἀντικαταδύνει
μέσῃ τῇ ζ′ καὶ κ′ μοίρᾳ τοῦ Λέοντος· τὸ μέντοι γε
λοιπὸν σῶμα τοῦ Κήτους οὐχ ὅλον τῇ Παρθένῳ ἀντι-* 10
*καταδύνει, ἀλλ' ἕως τῆς λοφίας, ὡς ὁ Ἄρατός φησι.
50 τοῦ δὲ Κηφέως ἡ κεφαλὴ μόνον δύνει· οἱ δὲ ὦμοι
αὐτοῦ ἐν τῷ ἀεὶ φανερῷ τμήματι κεῖνται, καθάπερ
προειρήκαμεν. οὐ μόνον δὲ κατὰ τοῦτο ἀγνοοῦσιν,
ἀλλὰ καὶ καθ' ὅ φασι τῇ Παρθένῳ ἀντικαταδύνειν* 15
*τὴν κεφαλὴν αὐτοῦ· οὐ γὰρ τῇ Παρθένῳ, ἀλλὰ ταῖς
Χηλαῖς ἄρχεται ἀντικαταδύνειν· ὁ γὰρ νοτιώτερος τῶν
ἐν τῇ κεφαλῇ δύνει ἀνατελλούσης [τῶν] Χηλῶν η′
μοίρας [τῆς] μέσης.*

51 *Τοῦ δὲ Σκορπίου ἀρχομένου ἀνατέλλειν ὁ Ἄρατός* 20
*φησι δύνειν μὲν τά τε λοιπὰ μέρη τοῦ Ποταμοῦ, καὶ
τὰ λοιπὰ μέρη τῆς Ἀνδρομέδας καὶ τοῦ Κήτους, καὶ
τοῦ Κηφέως τὰ ἀπὸ τῶν ὤμων μέχρι τῆς ζώνης, καὶ
τὴν Κασσιέπειαν ὅλην πλὴν τὸ ἀπὸ τῶν ποδῶν ἕως
52 τῶν γονάτων. ἀνατέλλειν δέ φησι τό τε λοιπὸν τοῦ* 25
*Στεφάνου, καὶ τὴν οὐρὰν τοῦ Ὕδρου, καὶ τοῦ Κενταύ-
ρου τὸ λοιπὸν σῶμα πλὴν τῶν ἐμπροσθίων ποδῶν.
ἀνατέλλειν δέ φησι καὶ τὸ Θηρίον, ὃ ἔχει ὁ Κένταυρος,*

---

1. *ὥς φασιν**] *ὥς φησιν* A edd., *ὡς φησὶν* B. ‖ 3. *ι′*] *ια′* A edd. ‖ 7. *αὐτοὶ φασὶν* B, *οὗτοι φασὶν* A ed. pr. ‖ 11. *ὡς*

bedeutend nördlicher ist, noch beginnt er mit der Jungfrau zugleich aufzugehen, wie sie behaupten, sondern erst mit den Scheren; denn die linke Schulter (ι) geht auf mit ♎ 10^0. — Von der Andromeda aber ist nicht bloſs 48 der Kopf untergegangen, wenn die Scheren im östlichen Horizont stehen, sondern auch beide Hände. — Der Wal- 49 fisch ferner fängt nicht an mit dem Aufgange der Jungfrau unterzugehen, wie diese behaupten, sondern schon mit dem des Löwen; denn von den zwei hellen Sternen ($\iota\ \beta$) im Schwanze geht der südlichere (β) mit dem Aufgange von ♌ $26\,{}^1/_2{}^0$ unter; der übrige Körper des Walfisches geht allerdings nicht ganz mit Aufgang der Jungfrau unter, sondern nur bis zur Rückenflosse, wie Aratos angiebt. — Vom Kepheus endlich geht nur der Kopf unter, 50 da seine Schultern in dem Abschnitt der beständigen Sichtbarkeit liegen, wie wir oben gezeigt haben. Aber das ist nicht der einzige Irrtum, sondern falsch ist auch, wenn sie behaupten, der Kopf desselben gehe mit Aufgang der Jungfrau unter; denn nicht mit dem der Jungfrau, sondern erst mit dem der Scheren beginnt er unterzugehen; denn der südlichere (ε) von den drei Sternen ($\varepsilon\ \zeta\ \lambda$) im Kopfe geht unter mit dem Aufgange von ♎ $7\,{}^1/_2{}^0$.

V. Wenn der Skorpion anfängt aufzugehen, behauptet 51 Aratos, daſs untergehen die noch übrigen Teile des Flusses, die noch übrigen Teile der Andromeda und des Walfisches, vom Kepheus das Stück von den Schultern bis zum Gürtel, endlich die Kassiopeja ganz mit Ausnahme des Stückes von den Füſsen bis zu den Knieen. Es geht aber auf, 52 wie er angiebt, der Rest der Krone, der Schwanz der Wasserschlange, vom Kentauren der übrige Körper mit Ausnahme der Vorderfüſse. Ferner sollen aufgehen der Wolf, welchen der Kentaur hält, vom Schlangenträger

---

om. AP[3]. ‖ 12. δ' ὦμοι A. ‖ 13. ἀειφανεὶ B edd. ‖ 14. κατὰ τοῦτο*] κατ' αὐτοῦ A, κατ' αὐτὸ B edd. ‖ 15. καὶ om. B edd. ‖ καθό φησι A. ‖ 20. ὁ Ἄρατος*] θάτερος vulg. ‖ 21. τε om. A. ‖ 23. τὰ ἀπὸ Vat., τὸ ἀπὸ cett. ‖ 25. δέ*] τέ vulg. ‖ 28. ὃ om. A.

καὶ τοῦ Ὀφιούχου τὴν κεφαλὴν καὶ τὰς χεῖρας, καὶ τοῦ Ὄφεως, ὃν ἔχει ὁ Ὀφιοῦχος, τὴν κεφαλὴν ἕως τῆς πρώτης σπείρας, καὶ τοῦ Ἐνγόνασι τὰ λοιπὰ πλὴν τῆς
53 *κεφαλῆς καὶ τῆς ἀριστερᾶς χειρός. ὁ δὲ Εὔδοξος τὰ μὲν λοιπὰ ὁμοίως ἀναγράφει· τὴν δὲ κεφαλὴν τοῦ* 5 *Ὀφιούχου οὐ γράφει ἀνατέλλειν, ἀλλὰ τὴν ἀριστερὰν μόνον χεῖρα· τὰ δὲ ἄλλα καὶ τὸ Θηρίον οὐ τοῦ Σκορπίου, ἀλλὰ τοῦ Τοξότου ἀνατέλλοντος ὑπὲρ γῆν [καὶ] φαίνεσθαι.*

54 *Καὶ τὰ μὲν ἄλλα συμφώνως ἀναγράφουσι τοῖς* 10 *φαινομένοις. τὸ δὲ Θηρίον οὐ ταῖς Χηλαῖς ⟨μόνον συνανατέλλει, ὡς ὁ Ἄρατος ὑπολαμβάνει, ἀλλὰ καὶ τῷ Σκορπίῳ· ἄρχεται μὲν γὰρ ἀνατέλλειν τῆς α′ καὶ κ′ μοίρας τῶν Χηλῶν ἀναφερομένης,⟩ τὸ δὲ λοιπὸν τῷ Σκορπίῳ μέσῳ μάλιστα συναναφέρεται, ὡς καὶ ὁ* 15 *Εὔδοξός φησι. δῆλον ὅτι καὶ ταῖς Χηλαῖς μέρος τι*
55 *αὐτοῦ δεῖ κατὰ τὸν Εὔδοξον συνανατέλλειν. ὁ δὲ Ἄρατος ἀγνοεῖ ἐν τοῖς περὶ τὸν Ὀφιοῦχον· ἡ γὰρ ἀριστερὰ χεὶρ αὐτοῦ μόνον ταῖς Χηλαῖς συνανατέλλει, ἡ δὲ κεφαλὴ καὶ ἡ δεξιὰ χεὶρ τῷ Σκορπίῳ.* 20

56 *Τοῦ δὲ Τοξότου μέλλοντος ἀνατέλλειν ὁ Ἄρατός φησι τὴν κεφαλὴν τοῦ Ἐνγόνασι καὶ τὴν ἀριστερὰν χεῖρα ἀνατεταλκέναι, καὶ τὸ σῶμα τοῦ Ὀφιούχου, καὶ τὴν οὐρὰν τοῦ Ὄφεως, ὃν ἔχει ὁ Ὀφιοῦχος, καὶ τὴν Λύραν, καὶ τοῦ Κηφέως τὰ ἀπὸ τῆς κεφαλῆς ἕως τοῦ* 25
57 *στήθους. δύνειν δέ φησι τόν τε Κύνα ὅλον, καὶ τὸν Ὠρίωνα, καὶ τὸν Λαγωόν, καὶ τοῦ Ἡνιόχου τὰ ἀπὸ τῶν ποδῶν ἕως τῆς ζώνης μέρη· τὴν δὲ Αἶγά φησι καὶ τοὺς Ἐρίφους, ὧν ἐστιν ἡ μὲν ἐπὶ τοῦ ἀριστεροῦ*

---

6. *οὐ γράφει ἀνατέλλειν, ἀλλὰ τὴν**] *γράφει ἀνατέλλουσαν καὶ τὴν* vulg. ‖ 7. *τὰ δὲ ἄλλα**] *τὴν δὲ ἄλλην* vulg. ‖ 10. *παρα-*

der Kopf und die Hände, von der Schlange, welche der Schlangenträger hält, der Kopf bis zur ersten Windung, endlich vom Knieenden die übrigen Teile mit Ausnahme des Kopfes und der linken Hand. Eudoxos macht die übrigen Angaben übereinstimmend; vom Schlangenträger aber schreibt er, daſs nicht der Kopf, sondern nur die linke Hand aufgehe; die anderen Teile aber und der Wolf seien nicht bei dem Aufgange des Skorpions, sondern erst bei dem Aufgange des Schützen über der Erde sichtbar. 53

Die übrigen Aufzeichnungen machen sie in Übereinstimmung mit den Erscheinungen. Der Wolf geht aber nicht bloſs mit den Scheren auf, wie Aratos annimmt, sondern auch mit dem Skorpion; denn er beginnt aufzugehen mit dem Aufgange von ♎ 21^0, der Rest aber geht etwa mit der Mitte des Skorpions auf, wie auch Eudoxos behauptet. Natürlich muſs ein Teil davon nach der Annahme des Eudoxos auch schon mit den Scheren aufgehen. — Im Irrtume ist aber Aratos hinsichtlich der den Schlangenträger betreffenden Angaben; denn nur die linke Hand desselben geht mit den Scheren auf, der Kopf und die rechte Hand aber erst mit dem Skorpion. 54 55

VI. Wenn der Schütze im Begriff ist aufzugehen, giebt Aratos an, daſs der Kopf und die linke Hand des Knieenden aufgegangen seien, ferner der Körper des Schlangenträgers und der Schwanz der Schlange, welche der Schlangenträger hält, die Leier, endlich vom Kepheus das Stück vom Kopfe bis zur Brust. Es gehen aber unter, wie er annimmt, der Groſse Hund ganz, der Orion und der Hase, vom Fuhrmann ferner das Stück von den Füſsen bis zum Gürtel; die Ziege aber und die Zicklein, von denen erstere (Capella) an der linken Schulter steht, letztere ($\zeta \eta$) 56 57

γράφουσι B edd. ‖ 11. οὐ*] οὔτε vulg. ‖ 14. τῷ Σκορπίῳ μέσῳ μάλιστα συναν.*] τῷ σκορπίου (σκορπίῳ A) σώματι ταῖς χηλαῖς συναν. vulg. ‖ 15. ὁ om. B edd. ‖ 17. δεῖ] ἀεὶ B ed. pr. | 19. τὰς χηλὰς A. ‖ 27. λαγὼ A. ‖ 28. δ' αἶγα A.

ὤμου, οἱ δ' ἐν τῇ ἀριστερᾷ χειρί, ἔτι δὲ τὴν κεφαλὴν καὶ τὴν δεξιὰν χεῖρα τῷ Τοξότῃ ἀντικαταδύνειν, τὰ δὲ πρὸς τοὺς πόδας τῷ Σκορπίῳ. δύνειν δέ φησι καὶ τὸν Περσέα χωρὶς τοῦ δεξιοῦ γόνατος καὶ τοῦ ποδός, καὶ τῆς Ἀργοῦς τὴν πρύμναν. 5

58 Ἐν δὲ τούτοις τὰ μὲν ἄλλα συμφωνεῖ τοῖς φαινομένοις. ἡ δὲ ἀριστερὰ χεὶρ τοῦ Ἐνγόνασι ταῖς Χηλαῖς συνανατέλλει, καὶ οὐ τῷ Σκορπίῳ· καὶ γὰρ αὐτὸς ὁ ἀριστερὸς ὦμος αὐτοῦ πολὺ προηγούμενος τῆς χειρὸς ὡσανεὶ διωργυιωμένου αὐτοῦ, καθάπερ καὶ αὐτὸς ὁ 10 Ἄρατός φησι, τῇ γ' μοίρᾳ τοῦ Σκορπίου συνανατέλλει. οὐχ ἡ κεφαλὴ οὖν μόνον αὐτοῦ τῷ Σκορπίῳ συναναφέρεται. διὸ καὶ ἐν τοῖς πρότερον περὶ τὴν τοῦ Σκορπίου ἀνατολὴν ἀγνοεῖ λέγων·

672 κάρη δ' ἑτέρης μετὰ χειρὸς 15
τόξῳ ἀνέλκονται.

59 κατηκολούθηκε δὲ καὶ κατὰ τοῦτο τῷ Εὐδόξῳ. διαφωνοῦσι δὲ πρὸς τὸ φαινόμενον καὶ ἐν τοῖς περὶ τοῦ Κηφέως· ἥ τε γὰρ κεφαλὴ αὐτοῦ μόνον δύνει καὶ ἀνατέλλει, οἱ δὲ ὦμοι καὶ τὸ στῆθος ἐν τῷ ἀεὶ φανερῷ 20 τμήματι φέρονται· χωρίς τε τούτων τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ ἀστέρων ὁ μὲν προηγούμενος τῇ η' καὶ κ' μοίρᾳ τοῦ Σκορπίου συνανατέλλει, ὁ δὲ ἔσχατος ἀναφερόμενος καὶ νοτιώτερος ὢν τῶν ἐν τῇ κεφαλῇ συνανατέλλει [τοῦ] Τοξότου ϛ' μοίρᾳ μέσῃ, ὥστε 25 μὴ μόνον τῷ Σκορπίῳ τὴν κεφαλὴν τοῦ Κηφέως 60 συνανατέλλειν, ἀλλὰ καὶ τῷ Τοξότῃ. ὁ δὲ Περσεὺς ὅλος τῷ Σκορπίῳ ἀντικαταδύνει καὶ οὐχ, ὡς οὗτοί

1. οἵ δ' ἐν A. ‖ 2. ἀντικαταδ.] παντὶ καταδ. B. ‖ 8. συνανατέλλειν A. ‖ 10. διοριγνωμένου Vat., διοριγνώμου P[1]P[2]. | αὐτὸς

in der linken Hand, ferner der Kopf und die rechte Hand sollen erst mit dem Aufgange des Schützen untergehen, das Stück an den Füſsen dagegen schon mit dem des Skorpions. Es soll ferner noch untergehen der Perseus mit Ausnahme des rechten Kniees und des Fuſses, sowie von der Argo das Hinterteil.

Hierin ist er im übrigen mit den Erscheinungen in Einklang. Aber die linke Hand (*o*) des Knieenden geht schon mit den Scheren auf, und nicht erst mit dem Skorpion.[19]) Denn schon die linke Schulter (*δ*) desselben, welche der linken Hand bedeutend vorangeht, gerade als ob er letztere weit von sich streckte, wie auch Aratos selbst (V. 67 ff.) sagt, geht mit ♏ 3^0 auf; also geht nicht bloſs der Kopf mit dem Skorpion auf. Deshalb ist er auch in den vorhergehenden Angaben, welche den Aufgang des Skorpions betreffen, im Irrtume, wenn er sagt: 58

672 doch das Haupt mit der anderen Hand zieht
Erst der Bogen herauf.

Er ist aber auch hierin dem Eudoxos gefolgt. — In Widerspruch mit der Erscheinung stehen sie aber auch in den Angaben über den Kepheus; denn nur der Kopf desselben geht auf und unter, während sich die Schultern und die Brust in dem Abschnitt der beständigen Sichtbarkeit bewegen; zweitens geht, abgesehen hiervon, der vor den Sternen im Kopfe desselben vorangehende (*μ*) mit ♏ 28^0 auf, während der zuletzt aufgehende (*ε*), welcher zugleich der südlichste von denen im Kopfe ist, mit ♐ $5\frac{1}{2}^0$ aufgeht.[20]) So geht also der Kopf des Kepheus nicht bloſs mit dem Skorpion auf, sondern auch mit dem Schützen. 59
— Der Perseus ferner geht ganz mit Aufgang des Skorpions unter, und nicht, wie sie angeben, der rechte Fuſs (*χ**) 60

ὁ*] ὁ *αὐτὸς* vulg. ‖ 12. *αὐτοῦ* evanuit in L, om. P³MV edd. | 16. *ἀνέλκοντα* A, *ἀνέρχονται* edd. ‖ 23. *δ' ἔσχ.* Vat. ‖ 25. *τῷ τοξότῃ* B edd. ‖ 28. *ὅλος*] *ὅλῳ* A. | *ἀντικατ.**] *συναντικατ.* vulg. | *οὗτοι φασὶν* AB ed. pr.

φασιν, ὁ δεξιὸς ποὺς καὶ τὸ δεξιὸν γόνυ τῷ Τοξότῃ
61 ἀντικαταφέρεται. ἠγνοήκασι δὲ καὶ τὰ περὶ τὴν Ἀργώ·
ἄρχεται γὰρ ἀντικαταδύνειν οὐ τῷ Σκορπίῳ, ἀλλὰ
μέσαις ταῖς Χηλαῖς. ἔδει οὖν ἀρχομένου τοῦ Σκορπίου
ἀνατέλλειν λέγειν τὴν τῆς Ἀργοῦς πρύμναν δεδυκέναι, 5
καὶ μὴ τοῦ Τοξότου ἀναφερομένου.

Cap. III.

1 Πάλιν δὲ τοῦ Αἰγόκερω πρὸς τῇ ἀνατολῇ ὄντος,
τῷ Τοξότῃ φασὶν ἀντικαταδύνειν τήν τε Ἀργὼ ὅλην
καὶ τὸν Πρόκυνα, συνανατέλλειν δὲ τόν τε Ὄρνιθα, 10
καὶ τὸν Ἀετόν, καὶ τὸν Ὀϊστόν, καὶ τὸ Θυμιατήριον.
2 Τὰ μὲν οὖν ἄλλα συμφώνως ὑπ' αὐτῶν λέγεται
τοῖς φαινομένοις. τὰ δὲ κατὰ τὸν Ὄρνιθα ἠγνόηται μὲν
ὑπ' ἀμφοτέρων, μᾶλλον δὲ ὑπὸ τοῦ Ἀράτου. ὁ μὲν
γὰρ Εὔδοξος τῷ Σκορπίῳ φησὶ συνανατέλλειν τὴν 15
δεξιὰν πτέρυγα τοῦ Ὄρνιθος, τῷ δὲ Τοξότῃ τὸ λοιπὸν
αὐτοῦ σῶμα. ἐξ ὧν δῆλον ὅτι τὴν δεξιὰν πτέρυγα
τοῦ Ὄρνιθος κατὰ τὸν Εὔδοξον δεῖ τοῖς ἐσχάτοις
μέρεσι τοῦ Σκορπίου συναναφέρεσθαι. ὁ δὲ Ἄρατός
3 φησι τῷ Τοξότῃ μόνον συνανατέλλειν αὐτόν. τῇ δὲ 20
ἀληθείᾳ οἱ μὲν ἐν ἄκρᾳ τῇ δεξιᾷ πτέρυγι τοῦ Ὄρνιθος
τοῖς ἐσχάτοις μέρεσι τῶν Χηλῶν συνανατέλλουσιν· ὁ δὲ
ἐν ἄκρᾳ τῇ ἀριστερᾷ πτέρυγι, ὃς δὴ καὶ ἔσχατος ἀνα-
τέλλει, τῇ β' καὶ κ' μοίρᾳ τοῦ Τοξότου συναναφέρεται.
4 Τοῦ δὲ Ὑδροχόου ἀρχομένου ἀνατέλλειν φησὶ συν- 25
ανατεταλκέναι τῷ Αἰγόκερῳ τοῦ Ἵππου τήν τε κεφαλὴν
καὶ τοὺς πόδας, δύνειν δὲ τὰ ὀπίσθια τοῦ Κενταύρου,

---

4. ἀρχόμενον τὸν σκορπίον B ed. pr. ‖ 5. τὴν τῆς ἀργ. τὴν πρ. A (P^2 τὴν ante πρ. exp. m. 2). ‖ 8. πρὸς τὴν ἀνατολὴν

und das rechte Knie (b) mit Aufgang des Schützen. — Auch in den Angaben über die Argo sind sie im Irrtume; denn sie beginnt nicht mit Aufgang des Skorpions unterzugehen, sondern bereits mit Aufgang der Mitte der Scheren. Es müfste also heifsen, dafs das Hinterteil der Argo untergegangen sei, wenn der Skorpion anfängt aufzugehen, und nicht erst beim Aufgange des Schützen. 61

VII. Wenn dann weiter der Steinbock im östlichen Horizont steht, geben sie an, dafs mit Aufgang des Schützen untergehe die Argo ganz und der Kleine Hund, während mit ihm gleichzeitig aufgehe der Schwan, der Adler, der Pfeil und der Altar. III. 1

Im übrigen stimmen diese von ihnen gemachten Angaben mit den Erscheinungen überein. Was jedoch den Schwan anbetrifft, so sind beide im Irrtume, besonders aber Aratos. Eudoxos sagt nämlich, der rechte Flügel des Schwanes gehe schon mit dem Skorpion auf, mit dem Schützen aber der Rest seines Körpers. Hieraus geht hervor, dafs der rechte Flügel des Schwanes nach Eudoxos mit den letzten Teilen des Skorpions aufgehen mufs. Aratos aber behauptet, dafs der Schwan nur mit dem Schützen aufgehe. In Wahrheit gehen jedoch die Sterne am Ende des rechten Flügels (ϑικ) desselben bereits mit den letzten Teilen der Scheren auf, während der Stern am Ende des linken Flügels (ζ), welcher eben zuletzt aufgeht, mit ♐ 22^0 emporsteigt. 2 3

VIII. Wenn der Wassermann aufzugehen beginnt, giebt er an, dafs gleichzeitig mit dem Steinbock aufgegangen sind vom Pferde der Kopf und die Füfse, während untergehen die hinteren Teile des Kentauren und von der 4

B ed. pr. ‖ 11. *τὸν ἱστὸν* A, *τὸν ὁ ἱστὸν* V. ‖ 13. *ὄρνιν* A. | 20. *συνανατέλλει* A (P^2 corr. m. 2). ‖ 21. *αἳ μὲν* A. ‖ 25. *δ' ὑδρ.* Vat. | *ἀρχομένου ἀνατ.*] *ἀνατέλλοντος* B. ‖ 26. *τε* om. B edd.

καὶ τοῦ Ὕδρου τὸ ἀπὸ τῆς κεφαλῆς ἕως τῆς πρώτης σπείρας. ὁ δὲ Εὔδοξός φησι καὶ τὴν Κασσιέπειαν ἀνατέλλειν καὶ τὸν Δελφῖνα.

5 Ἃ μὲν οὖν κοινῇ εἰρήκασι, σχεδὸν συμφωνεῖ τοῖς φαινομένοις, πλὴν ὅτι ἡ κεφαλὴ τοῦ Ὕδρου τοῖς ἐσχάτοις 5 μέρεσι τοῦ Τοξότου ἄρχεται ἀντικαταδύνειν, καὶ οὐ τῷ Αἰγόκερῳ. τοῦ δὲ Ἵππου οὐ μόνον ἡ κεφαλὴ καὶ οἱ πόδες ἀνατετάλκασιν, ἀλλὰ καὶ οἱ ὦμοι καὶ τὸ στῆθος.

6 Παρέχει δέ τισιν ἐπίστασιν, πῶς ἐπὶ τῶν ἄλλων 10 ζῳδίων ὁ Ἄρατος τὰς ἀρχὰς ἐπὶ τῆς ἀνατολῆς ὑποτιθέμενος καὶ οὕτως τὰς τῶν ἄλλων ἄστρων ἀνατολὰς καὶ δύσεις διασαφῶν τὸν Ὑδροχόον μέσον ἀνατέλλειν ὑποτίθεται, λέγων οὕτως·

693 Ἵππος δ' Ὑδροχόοιο μέσον περιτελλομένοιο 15
ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται.

7 τούτου δ' ἀπορουμένου ὁ Ἄτταλός φησιν ἁμάρτημα εἶναι, δεῖν δὲ γράφειν οὕτως· „Ἵππος δ' Ὑδροχόοιο νέον περιτελλομένοιο.“ λανθάνει δὲ τόν τε Ἄτταλον καὶ τοὺς ἄλλους τὸ βούλημα τοῦ ποιητοῦ, τάχα δὲ καὶ 20 τὸ φαινόμενον. ὁ γὰρ Ὑδροχόος, τῇ θέσει κείμενος ἀπὸ μεσημβρίας πρὸς ἄρκτους, τὰ μὲν κατὰ τὸ στῆθος καὶ τὴν κεφαλὴν μέρη πολὺ ἐκπίπτοντα τοῦ ζῳδιακοῦ κύκλου εἰς τὸ πρὸς ἄρκτους μέρος, τὰ δὲ κατὰ τοὺς πόδας νοτιώτερα ἔχει τοῦ ζῳδιακοῦ κύκλου· ἐν δὲ τῷ 25 8 ζῳδιακῷ τὰ μέσα αὐτοῦ κεῖται. ἐπεὶ οὖν τὰ δωδεκατημόρια τοῦ ζῳδιακοῦ κύκλου ὑποτίθεται ἀναφερόμενα, διὰ τοῦτο ὁ Ἄρατος λέγει τοῦ Ὑδροχόου κατὰ μέσον

---

2. ἑσπέρας A (Vat. σπείρας e corr. m. 2). ‖ 16. κεφαλὴ A. ‖ 17. τοῦτο δ' ἀπορῶν B edd. ‖ 24. πρὸς ἄρκτον A. ‖ 25. ποδὰς

Wasserschlange das Stück von dem Kopfe bis zur ersten Windung. Eudoxos aber behauptet, dafs auch die Kassiopeja und der Delphin aufgehen.

Was sie gemeinsam gesagt haben, stimmt ungefähr mit den Erscheinungen überein, nur dafs der Kopf der Wasserschlange ($\delta \sigma$) schon mit dem Aufgange der letzten Teile des Schützen (♐ 29^0) unterzugehen anfängt, und nicht erst mit dem des Steinbocks. — Vom Pferde sind ferner nicht blofs der Kopf und die Füfse aufgegangen, sondern auch die Schultern und die Brust. 5

Einige nehmen Anstofs daran, dafs Aratos, während er bei den übrigen Zeichen die Anfänge als im östlichen Horizont befindlich annimmt und danach die Auf- und Untergänge der übrigen Sternbilder angiebt, beim Wassermann annimmt, dafs er schon halb aufgegangen sei, indem er also sagt: 6

693 Aber das Pferd, wie zur Mitte der Wassermann nun sich empordreht,
Steigt mit den Füfsen empor und dem Kopfe.

Aus dieser Schwierigkeit zieht sich Attalos mit der Annahme, dafs ein Fehler vorliege und man so schreiben müsse: „Aber das Pferd, wie soeben der Wassermann nun sich empordreht.“ Allein Attalos sowohl wie die anderen mifsverstehen die Absicht des Dichters, sind vielleicht aber sogar mit der Erscheinung nicht vertraut. Nämlich vom Wassermann, welcher sich vermöge seiner Lage von Norden nach Süden erstreckt, reichen die Teile in der Gegend von Brust und Kopf weit über die Ekliptik hinaus nach Norden zu, während die Teile in der Gegend der Beine südlich der Ekliptik liegen, sodafs nur seine Mitte in die Ekliptik fällt. Da er nun die Zeichen des Tierkreises als im Aufgange begriffen annimmt, so sagt Aratos aus diesem Grunde, wenn der Wassermann bis 7 8

edd., corr. *Migne.* | ἔχει hoc loco om. antea post μέρος praeb. B edd.

τὸ σῶμα ἀνατέλλοντος „ὁ Ἵππος ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται“, καὶ οὐχὶ τὸ μέσον τοῦ ἐν τῷ δωδεκατημορίῳ μήκους, ὡς οἵ τε πολλοὶ καὶ ὁ Ἄτταλος ἐκδέχεται.
9 *ἀναγκαῖον οὖν εἶναι δοκεῖ μοι, μὴ μετατιθέναι τὸν στίχον, ὡς ὁ Ἄτταλος ὑποδεικνύει, ἐν πᾶσί γε δὴ τοῖς* 5 *ἀντιγράφοις οὕτως αὐτοῦ γραφομένου.*

10 *Ὁ δὲ Εὔδοξος ἀγνοεῖ περί τε τῆς Κασσιεπείας καὶ τοῦ Δελφῖνος· οὐ γὰρ τῷ Αἰγόκερῳ συνανατέλλουσιν, ἀλλ' ἡ μὲν Κασσιέπεια τοῖς δυσί, τῷ τε Τοξότῃ καὶ τῷ Αἰγόκερῳ· ἄρχεται μὲν γὰρ συνανατέλλειν τῇ α'* 10 *καὶ κ' μοίρᾳ τοῦ Τοξότου, ἔσχατον δὲ συνανατέλλει τῇ ιβ' μοίρᾳ τοῦ Αἰγόκερῳ. ὁ δὲ Δελφὶς ὅλος τῷ Τοξότῃ συνανατέλλει ἀπὸ* <*μέσης*> *τῆς κ' αὐτοῦ μοίρας ἕως* <*μέσης*> *τῆς κδ'.*

11 *Τῆς δὲ ἀρχῆς τῶν Ἰχθύων ἀνατελλούσης ὁ μὲν* 15 *Ἄρατός φησι δεδυκέναι τά τε λοιπὰ τοῦ Ὕδρου καὶ τὸν Κένταυρον, ἀνατεταλκέναι δὲ τὸν Νότιον Ἰχθὺν οὐχ ὅλον, ἀλλὰ παρὰ μικρόν, καὶ τῆς Ἀνδρομέδας τὰ*
12 *δεξιὰ μέρη κατὰ μῆκος. ὁ δὲ Εὔδοξος ἐν μὲν τῷ ἑνὶ συντάγματι, ᾧ δὴ καὶ ὁ Ἄρατος κατακολουθεῖ, καὶ τοῦ* 20 *Περσέως τὴν δεξιὰν χεῖρά φησιν ἀνατέλλειν, ἐν δὲ τῷ Ἐνόπτρῳ, ὅλον αὐτὸν ἀνατεταλκέναι πλὴν μικροῦ τινος· τοῦ δὲ Ὕδρου τὸ μέχρι πρὸς τὸν Κόρακα δύνειν.*

13 *Δοκεῖ δέ μοι ὁ Εὔδοξος περὶ τοῦ Περσέως κατὰ τοῦτο μόνον διαφωνεῖν πρὸς τὸ φαινόμενον, καθ' ὅσον* 25 *φησὶν αὐτοῦ μόνον τὴν δεξιὰν χεῖρα συνανατέλλειν τῷ Ὑδροχόῳ· τὸ γὰρ ἥμισυ σχεδὸν αὐτοῦ μέρος τῷ Ὑδροχόῳ συνανατέλλει. ὁ γοῦν ἐν μέσῳ τῷ σώματι λαμπρὸς ἱκανῶς ἀστὴρ* <*τῇ*> *ζ' καὶ κ' μοίρᾳ τοῦ*

---

1. τὸ σῶμα*] τοῦ σώματος vulg. | ποσσί τε*] ποσί τε vulg. | κεφαλὴ A (P[2] corr. m. 2). ‖ 2. τοῦ] τὸ A. ‖ 3. πολλοὶ] παλαιοὶ

zur Mitte des Leibes aufgegangen ist, „steigt mit den Füſsen empor und dem Kopfe“ das Pferd, aber nicht etwa die Mitte der Längendimension des Zeichens, wie mit der Mehrzahl auch Attalos annimmt. Es scheint mir 9 daher geboten, den Vers nicht zu ändern, wie Attalos es für angezeigt hält, zumal da er in allen Handschriften so geschrieben steht.

Eudoxos ist im Irrtume hinsichtlich der Kassiopeja 10 sowohl als des Delphins; denn beide gehen nicht mit dem Steinbock auf; vielmehr geht die Kassiopeja mit den zwei Zeichen auf, dem Schützen und dem Steinbock; denn sie beginnt aufzugehen mit ♐ 21^0, während das Ende des Aufganges mit ♑ 12^0 stattfindet. Der Delphin aber geht ganz mit dem Schützen auf von ♐ $19\frac{1}{2}^0$ bis ♐ $23\frac{1}{2}^0$.

IX. Wenn der Anfang der Fische aufgeht, giebt Aratos 11 an, daſs untergegangen sei der Rest der Wasserschlange und der Kentaur, aufgegangen der Südliche Fisch nicht ganz, sondern bis auf einen kleinen Rest, und von der Andromeda die rechte Seite der Länge nach. Eudoxos 12 behauptet in der einen Abhandlung, welcher eben auch Aratos folgt, daſs auch vom Perseus die rechte Hand aufgehe, in dem „Spiegel“ aber, daſs er ganz aufgegangen sei bis auf einen kleinen Rest. Von der Wasserschlange aber sei nur das Stück bis zum Raben untergegangen.

Es scheint mir aber Eudoxos hinsichtlich des Perseus 13 nur insoweit mit der Erscheinung in Widerspruch zu stehen, als er behauptet, daſs nur die rechte Hand mit dem Wassermann aufgehe. Es geht nämlich fast die Hälfte desselben mit dem Wassermann auf. Jedenfalls geht der ziemlich helle Stern (α) in der Mitte des Körpers

---

B edd. ‖ 4. *μὴ* om. A, primitus omissum add. L (m. 2), supra linea add. V. | *μετὰ τὸ τιθέναι* A. ‖ 8. *συνανατέλλουσιν**] *συνανατέλλει* vulg. ‖ 10. *τῇ α′*] *τῇ μιᾷ* A hic et sic semper. | 12. *δὲ* post *ὁ* om. A. ‖ 15. *δ’ ἀρχ.* V. ‖ 17. *ἰχθῦν* B edd. hic et sic semper. ‖ 18. *παραμικρὸν* B ed. pr. ‖ 19. *μὲν* om. B. | *τῷ α′ συντ.* B edd. ‖ 22. *παραμικροῦ* B ed. pr., *παρὰ μ.* Ur. ‖ 26. *αὐτοῦ**] *αὐτὴν* vulg.

14 Ὑδροχόου συναναφέρεται. ὁ δὲ Ἄρατος ἀγνοεῖ, τὸν Ὕδρον ὅλον τῷ Ὑδροχόῳ ὑπολαμβάνων ἀντικαταδύνειν. ὁ γὰρ ἐν ἄκρᾳ τῇ οὐρᾷ ὑπὲρ τὴν κεφαλὴν τοῦ Κενταύρου κείμενος δύνει ἀνατελλούσης τῆς ιαʹ μοίρας τῶν Ἰχθύων. βέλτιον οὖν ὁ Εὔδοξος ἀποφαίνεται, λέγων 5
15 τοῦ Ὕδρου τὴν οὐρὰν ἔτι ὑπολείπεσθαι. περὶ δὲ τοῦ Κενταύρου ἀμφότεροι ἀγνοοῦσιν. οὐ γὰρ ὅλος ἀντικαταδέδυκε τῶν Ἰχθύων ἀρχομένων ἀναφέρεσθαι, ἀλλ' ἔτι αὐτοῦ τὰ ἐμπρόσθια ὑπὲρ τὸν ὁρίζοντά ἐστιν· ἡ γὰρ κεφαλὴ καὶ ὁ δεξιὸς ὦμος αὐτοῦ τοῖς Ἰχθύσιν 10
16 ἀντικαταδύνει. διαφωνοῦσι δὲ ἀμφότεροι πρὸς τὸ φαινόμενον καὶ περὶ τοῦ Νοτίου Ἰχθύος, ὅλον αὐτὸν ἔγγιστα τῷ Ὑδροχόῳ ὑπολαμβάνοντες συνανατέλλειν. τοὐναντίον γὰρ τὸ πλεῖστον αὐτοῦ μέρος τοῖς Ἰχθύσι συναναφέρεται· ὁ μὲν γὰρ νοτιώτερος τῶν ἐν τῇ οὐρᾷ 15 τῇ γʹ μοίρᾳ τῶν Ἰχθύων συνανατέλλει, ὁ δὲ ἐν τῷ ῥύγχει λαμπρὸς ⟨μέσῃ⟩ τῇ αʹ καὶ κʹ μοίρᾳ τῶν Ἰχθύων.
17 περὶ δὲ τῆς Ἀνδρομέδας ὁλοσχερῶς ἠγνοήκασιν ἀμφότεροι· οὐ γὰρ τῷ Ὑδροχόῳ καὶ τοῖς Ἰχθύσι συνανατέλλει, ὡς οὗτοί φασιν, ἀλλὰ τῷ Αἰγόκερῳ καὶ τῷ 20 Ὑδροχόῳ· πρώτη μὲν γὰρ ἡ δεξιὰ χεὶρ αὐτῆς συνανατέλλει μέσῳ μάλιστα τῷ Αἰγόκερῳ, ἐσχάτη δὲ ἡ ἀριστερὰ συναναφέρεται ⟨μέσῃ⟩ τῇ δʹ καὶ κʹ μοίρᾳ τοῦ Ὑδροχόου.
18 Περὶ δὲ τῆς τοῦ Κριοῦ ἀνατολῆς ὁ Ἄρατος λέγων τὰ μὲν δεξιά φησι τῆς Ἀνδρομέδας οἱ Ἰχθύες 25

708 αὐτοὶ ἐφέλκονται, τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
Κριὸς ἀνελκόμενος. τοῦ καὶ περιτελλομένοιο
ἑσπερόθεν κεν ἴδοιο Θυτήριον, αὐτὰρ ἐν ἄλλῃ

---

7. ἀντικαταδέδυκε*] ἂν δέδυκεν (A om. ν ἐφ.) vulg., ἀντιδέδυκεν coni. *Pet.* ‖ 11. δ' ἀμφ. A. ‖ 14. πλεῖστον*] πλεῖον vulg. ‖

mit ♒ 27^0 auf. — Aratos dagegen ist im Irrtume, wenn er annimmt, daſs die Wasserschlange mit Aufgang des Wassermanns ganz untergehe; denn der am Ende des Schwanzes über dem Kopfe des Kentauren stehende Stern (π) geht erst mit dem Aufgange von ♓ 11^0 unter. Eine bessere Bestimmung trifft daher Eudoxos, wenn er sagt, daſs von der Wasserschlange noch der Schwanz übrig bleibe. — Über den Kentauren befinden sich beide im Irrtume; denn er ist nicht ganz untergegangen, wenn die Fische anfangen aufzugehen, sondern es befinden sich noch die vorderen Teile desselben über dem Horizont. Denn der Kopf ($ghik$) und die rechte Schulter (ϑ) gehen erst mit Aufgang der Fische unter. — Es befinden sich ferner beide in Widerspruch mit der Erscheinung auch hinsichtlich des Südlichen Fisches, wenn sie annehmen, daſs er fast ganz mit dem Wassermann aufgehe. Es geht nämlich im Gegenteil der gröſste Teil desselben erst mit den Fischen auf; denn der südlichere (γ) von den Sternen ($\iota\gamma$) im Schwanze geht mit ♓ 3^0 auf, der helle in der Schnauze (α) mit ♓ $20\frac{1}{2}^0$. — Was die Andromeda anbelangt, so sind beide völlig im Irrtume; denn sie geht nicht mit dem Wassermann und den Fischen auf, wie sie behaupten, sondern mit dem Steinbock und dem Wassermann. Zuerst geht nämlich die rechte Hand derselben auf mit etwa der Mitte des Steinbocks und zuletzt die linke mit ♒ $23\frac{1}{2}^0$.

14 15 16 17

X. Indem Aratos den Aufgang des Widders bespricht, sagt er: die rechts liegenden Teile der Andromeda 18

708 Ziehen die Fische daher; was links liegt, hebet von unten
Erst der Widder im Aufstieg. Ist er im Aufgehn begriffen,
Siehst du am westlichen Rande den Altar, aber am Ostrand

---

20. οὗτοι φασὶν AB ed. pr. ‖ 21. δεξιὰ*] ἀριστερὰ vulg. ‖ 22. ἀριστερὰ*] δεξιὰ vulg. ‖ 26. εἴωθεν ἕλκειν B. ‖ 27. ἀνερχόμενος edd. ‖ 28. αὐτὰρ ἄλλη B.

Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους·
αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλοιτο
ἢ Κριῷ λήγοντι φαείνεται ἢ ἐπὶ Ταύρῳ.

19 γράφεται μὲν οὕτως ὁ ἔσχατος στίχος· εἰκὸς μέντοι γε ἠγνοῆσθαι τὸ „λήγοντι“. ἐξ ἀρχῆς γὰρ πάντων τῶν 5 ζῳδίων τὰς ἀρχὰς ἐπὶ τῆς ἀνατολῆς ὑποτίθεται, καὶ οὐχὶ μεσοῦντα ἢ λήγοντα· ἐπὶ γὰρ τῶν ἄλλων ἄστρων τινὰ μὲν μέρη μεσούντων τῶν ζῳδίων, τινὰ δ' ἀρχο-
20 μένων ἢ ληγόντων δύνει ἢ ἀνατέλλει. ὅθεν καὶ ὁ Ἄτταλος κατά γε τοῦτο ὀρθῶς συνεώρακε τὸ ἀγνόημα· 10 καὶ δεῖ τοι ἢ ὡς ἐκεῖνός φησι γράφεσθαι· „ἢ Κριῷ ἀνιόντι φαείνεται ἢ ἐπὶ Ταύρῳ,“ ἢ νὴ Δία, οὕτως· „ἢ Κριῷ λήγουσα φαείνεται,“ ὥστε τὸ „λήγουσα“
21 ἐπὶ τὴν ζώνην ἀναφέρεσθαι. λέληθε μέντοι γε αὐτὸν τὸ βούλημα τοῦ ποιητοῦ καὶ ἐν τούτοις· λέγει 15 γὰρ οὕτως· „ἡμεῖς μέντοι καὶ ἐπὶ τούτῳ τῷ τε „ποιητῇ συμφώνως καὶ τοῖς φαινομένοις ἀκολούθως „οἰόμεθα δεῖν γράφεσθαι τὸ ποίημα τὸν τρόπον „τοῦτον·

712 „αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλονται 20
„ἢ Κριῷ ἀνιόντι φαείνεται ἢ ἐπὶ Ταύρῳ,
„σὺν τῷ πασσυδίῃ ἀνελίσσεται.

22 „ἐπεὶ γὰρ μέλλοντος μὲν τοῦ Κριοῦ ἀνατέλλειν ὁ „Περσεὺς ὁμολογουμένως μέχρι τῶν ὤμων ἐκφανὴς

1. περσέως ἀνατέλλοντος A. ‖ 2. αὐτῇ τε A, αυτη δὲ (sic) LP[3]V, αὕτη δὲ M. | καὶ καμφήριστα A (καμφήριτα P[1]P[2] hic tantum), καὶ ἀμφήριστα B, καὶ κἀμφήριστα ed. pr. hic et infra. | πέλοιτο] γένοιτο AB. ‖ 5. τῷ λήγοντι A. ‖ 7. ἐπὶ γὰρ τῶν] ἐπεὶ οὕτω γε καὶ τῶν A. ‖ 9. ληγόντων] γόντων Vat., λη add. m. 2. | 10. κατά γε*] κατὰ μὲν vulg. ‖ 13. τὸ λήγουσαν A. ‖ 20. αυτη

Kopf und Schultern etwa vom aufwärts steigenden Perseus;
Doch um des Perseus Gürtel da waltet annoch ein Zweifel,
Ob er mit Ende des Widders erscheint oder erst mit dem Stiere.

So wird wenigstens der letzte Vers geschrieben. Es ist 19 jedoch wahrscheinlich, dafs in den Worten „mit Ende des Widders" ein Fehler enthalten sei; denn von vornherein nimmt er bei allen Zeichen den Anfang als im östlichen Horizont befindlich an, nie die Mitte oder das Ende derselben. Denn nur bei Betrachtung der anderen Sternbilder gehen gewisse Teile derselben mit der Mitte der Zeichen, andere mit dem Anfange oder dem Ende derselben auf oder unter. Daher hat auch Attalos in dieser 20 Beziehung einmal den Fehler richtig erkannt, und es mufs in der That entweder geschrieben werden, wie er vorschlägt: „Ob er bei Aufgang des Widders erscheint oder erst mit dem Stiere", oder noch besser entschieden so: „Ob sein End' mit dem Widder erscheint oder erst mit dem Stiere", sodafs „sein Ende" auf den Gürtel zu beziehen wäre. Die Absicht des Dichters ist ihm allerdings 21 trotzdem auch an dieser Stelle verborgen geblieben. Er sagt nämlich also: „Wir jedoch meinen auch an dieser „Stelle in Übereinstimmung mit dem Dichter und im Ein„klang mit den Erscheinungen den Vers in folgender „Weise schreiben zu müssen:

712 „Doch um des Perseus Gürtel da waltet annoch ein Zweifel,
„Ob er bei Aufgang des Widders erscheint oder erst mit dem Stiere,
„Welchem zugleich er sich völlig emporhebt.

„Da nämlich, wenn der Widder im Begriff ist aufzugehen, 22 „der Perseus zugegebenermafsen bis zu den Schultern sicht-

(sic) LV, αὔτη P³M. | πέλονται*] πέλοιτο vulg. || 22. σὺν τῷ om. B. || 23. μὲν om. B edd.

„γίνεται, ἅμα δὲ τῷ ἄρξασθαι ἀναφέρεσθαι τὸν Κριὸν
„εὐθέως ἔκδηλος ἡ τοῦ Περσέως ζώνη γίνεται διὰ
„τὸ βραχὺ παντελῶς παραλλάσσειν τῆς τοῦ Κριοῦ
„ἀρχῆς τὴν φάσιν αὐτῆς, διστάζει, πότερον κατὰ τὴν
„τοῦ Κριοῦ μέλλοντος ἀνατέλλειν ἀρχὴν ὑποθῆται 5
„⟨αὐτὴν⟩ φανερὰν ἤδη γίνεσθαι, ἢ ἐπὶ τὸ μᾶλλον
„ὁμολογούμενον ἔλθῃ, διότι τοῦ Ταύρου μέλλοντος
„ἀναφέρεσθαι ἐκφανής ἐστι τοῦ Περσέως ἡ ζώνη μετὰ
23 „τοῦ λοιποῦ σώματος. καὶ τοῦτον τὸν τρόπον γραφο-
„μένου τοῦ ποιήματος τά τε φαινόμενα σωθήσεται, 10
„καὶ τὰ περὶ τῆς ζώνης ὁ ποιητὴς οὐ μόνον ἐμπείρως,
„ἀλλὰ καὶ ἀκριβῶς ἐξηγούμενος ἂν φαίνοιτο.“

24 Πρῶτον μὲν οὖν ἐν τούτοις ὁ Ἄτταλος ἀγνοεῖ,
νομίζων ἐπὶ τοσοῦτον τὴν ἀκρίβειαν ἐν τοῖς Φαινο-
μένοις ὑπὸ Ἀράτου διειλῆφθαι, ὥστε περὶ αὐτῶν τῶν 15
ἐν τῇ ζώνῃ τοῦ Περσέως ἀστέρων διστάζειν αὐτόν,
πότερον τῆς ἀρχῆς τοῦ Κριοῦ ἐπ᾽ ἀνατολῆς οὔσης καὶ
αὐτὴ ἤδη φανερά ἐστι σὺν τοῖς ὤμοις καὶ τῇ κεφαλῇ
25 ἢ μετ᾽ ὀλίγον. χωρὶς γὰρ τοῦ ὁλοσχερῶς μὴ μόνον
τὸν Ἄρατον, ἀλλὰ καὶ τὸν Εὔδοξον ἐν τοῖς Φαινομένοις 20
ἀναστρέφεσθαι, καθάπερ ἐπιδεδείχαμεν, ἔτι καὶ οὐ
μόνον ἐπὶ τῆς τοῦ Περσέως ζώνης τοῦτ᾽ ἂν παρὰ τῷ
Ἀράτῳ διστάζοιτο, ἀλλὰ καὶ ἐπὶ πάντων ⟨τῶν⟩ δυσὶν
26 ἢ καὶ πλείοσι ζῳδίοις συνανατελλόντων. τελέως δ᾽
ἀγνοεῖν δόξειεν ⟨ἂν⟩ ὁ Ἄτταλος καὶ τὰ φαινόμενα, 25
ὑπολαμβάνων κατὰ ἀλήθειαν οὕτως εἶναι δισταζόμενα

---

4. διστάζειν A. | κατὰ τὸν A. ‖ 5. ὑπόθηται A. ‖ 6. φανερὰν corr. *Pet.*, φανερὰ vulg. ‖ 10. φαινόμενα*] γραφόμενα vulg. ‖ 12. ἀναφαίνοιτο B. ‖ 13. ἐν τούτοις*] διὰ τούτων vulg. | ἀγνοεῖ νομίζων corr. *Pet.*, ἀπορεῖ νομίζων AUr., εἰ νομίζων B ed. pr. ‖ 16. διστάζειν αὐτόν, πότ.*] διστάζει τὸ πότ. vulg. ‖ 23. δυσὶν*]

„bar wird, gleichzeitig aber mit dem ersten Beginn des „Widderaufgangs sofort der Gürtel des Perseus sichtbar „wird, weil sein Erscheinen nur ganz wenig über den „Anfang des Widders hinausliegt, so ist er in Zweifel, „ob er annehmen soll, daſs er bereits zu dem Zeitpunkte „sichtbar werde, wo der Anfang des Widders eben im „Begriff ist aufzugehen, oder ob er zu der mehr sich „empfehlenden Angabe schreiten soll, daſs erst, wenn der „Stier im Begriff ist aufzugehen, der Gürtel des Perseus „zusammen mit dem Reste des Körpers sichtbar sei. Wenn 23 „der Vers auf die angegebene Weise geschrieben wird, so „werden einerseits die Erscheinungen gewahrt bleiben, „andrerseits dürfte der Dichter die Aufgangsverhältnisse „des Gürtels offenbar nicht nur mit Kenntnis, sondern „auch mit Genauigkeit schildern."

Zunächst ist hierin eine irrtümliche Auffassung des 24 Attalos zu erblicken, wenn er glaubt, daſs es von Aratos in seinem Gedichte mit der Genauigkeit so gewissenhaft genommen worden sei, daſs er gerade hinsichtlich der Sterne im Gürtel des Perseus Zweifel ausdrückt, ob letzterer, wenn der Anfang des Widders im östlichen Horizont befindlich ist, gleichfalls schon sichtbar sei zusammen mit den Schultern und dem Kopfe, oder wenig später. Denn 25 abgesehen davon, daſs nicht nur Aratos, sondern auch Eudoxos in den „Himmelserscheinungen" sich arge Versehen zu Schulden kommen läſst, wie wir nachgewiesen haben, dürfte ferner auch nicht bloſs bei dem Gürtel des Perseus der ausgesprochene Zweifel bei Aratos erhoben werden, sondern auch bei allen Sternbildern, welche gleichzeitig mit zwei oder mehreren Zeichen aufgehen. Völligen 26 Mangel an Kenntnis dürfte aber Attalos auch hinsichtlich der Erscheinungen zeigen, wenn er annimmt, daſs die Aufgangsverhältnisse des Gürtels des Perseus in Wirk-

---

δύο A, β′ B edd. ‖ 24. *τέλος* A, *τέλος δὲ* adnotat *Pet.*, quamvis *τέλος ἀγνοεῖν* P¹P². ‖ 25. *δόξειεν ὅτι ὁ Ἄττ.* B ed. pr.; *ὅ τε Ἄττ. καὶ ὁ τὰ φαιν. ὑπ.* coni. *Scal.*

⟨τὰ⟩ περὶ τὴν ζώνην τοῦ Περσέως, καθάπερ προείρηκεν. οὐ γὰρ μόνον ἡ ζώνη τοῦ Περσέως φαίνεται ὑπὲρ γῆν τοῦ Κριοῦ ἀρχομένου ἀνατέλλειν, ἀλλὰ καὶ ὅλος σχεδὸν ὁ Περσεὺς πλὴν τοῦ ἀριστεροῦ ποδὸς καὶ
27 τοῦ γόνατος. ὁ μὲν γὰρ δεξιὸς αὐτοῦ ποὺς συνανατέλλει τῇ η′ μοίρᾳ τῶν Ἰχθύων, ὁ δὲ ἐν τῷ δεξιῷ γόνατι τῇ ζ′ μοίρᾳ· ὁ δὲ ἐν τῷ γοργονίῳ καὶ τῇ ἀριστερᾷ χειρὶ κείμενος λαμπρὸς ἀστήρ, ὃς μικρὸν προηγεῖται τοῦ ἀριστεροῦ μηροῦ, τῇ ιγ′ μοίρᾳ τῶν Ἰχθύων συναναφέρεται. μόνη δὲ αὐτοῦ ἡ ἀριστερὰ κνήμη τῷ Κριῷ
28 συνανατέλλει. δῆλον οὖν ὅτι ἀγνοεῖ, λέγων τά τε φαινόμενα σωθήσεσθαι καὶ τὸν Ἄρατον ἐμπείρως καὶ ἀκριβῶς τὰ περὶ τῆς τοῦ Περσέως ζώνης φανεῖσθαι ἐξηγούμενον.

29 Δοκεῖ δέ μοι διηπορῆσθαι ὁ Ἄρατος παρὰ τὴν αὐτὴν αἰτίαν, παρ᾽ ἣν καὶ ὁ Εὔδοξος, ᾧ κατηκολούθηκεν ὁ Ἄρατος. ἐν μὲν γὰρ τῷ συντάγματι τῷ περὶ τῶν φαινομένων γράφει, ὅτι τοῖς Ἰχθύσι συνανατέλλει τὰ δεξιὰ τοῦ Περσέως, ὥστε τῆς ἀρχῆς τοῦ Κριοῦ πρὸς τῇ ἀνατολῇ οὔσης τὰ δεξιὰ μόνον τοῦ Περσέως μέρη κατ᾽ αὐτὸν ὑπὲρ γῆν φαίνεσθαι· ἐν δὲ τῷ ἑτέρῳ συντάγματι, ὃ ἐπιγράφεται „Ἔνοπτρον“, τοῖς Ἰχθύσι
30 φησὶν αὐτὸν ὅλον πλὴν ὀλίγου συνανατέλλειν. ἐν πᾶσιν οὖν σχεδὸν τοῖς περὶ τὰς ἀνατολὰς τῶν ἄστρων συμφωνούντων ἀλλήλοις τῶν δύο συνταγμάτων, περὶ δὲ τοῦ Περσέως διαφόρου τῆς ἀναγραφῆς οὔσης, εὐλόγως ὁ Ἄρατος, διαπορῶν, ποίᾳ τις κατακολουθήσει ἀποφάσει, ἀμφήριστόν φησιν εἶναι καὶ δισταζόμενον, πότερον καὶ ἡ ζώνη τοῦ Περσέως μετὰ τῶν ὤμων καὶ τῆς κεφαλῆς τοῦ Κριοῦ ἀνατέλλοντος μετέωρος φαίνεται

2. μόνη B edd. ‖ 7. ὁ δ᾽ ἐν A. ‖ 12. ἔμπειρως (sic) L, ἐμπειρῶς et supra ει rasura M, ἐμπειρῶς V. ‖ 19. μέρη τοῦ

lichkeit so zweifelhaft seien, wie er oben behauptet hat. Nämlich es ist nicht allein der Gürtel des Perseus über der Erde sichtbar, wenn der Widder aufzugehen beginnt, sondern der Perseus fast ganz mit Ausnahme des linken Fußes und des Knies; denn der rechte Fuß (x^*) desselben 27 geht schon mit ♓ 8^0 auf und der Stern (b) im rechten Knie mit ♓ 7^0; der helle Stern (β) aber, welcher im Gorgonenhaupt und in der linken Hand steht und nur wenig der linken Hüfte (ν) vorangeht, geht mit ♓ 13^0 auf; nur das linke Bein (ξ), wie gesagt, geht mit dem Widder (♈ $13^1/_2{}^0$) auf. Hieraus geht hervor, daß er im Irrtume 28 ist, wenn er behauptet, daß die Erscheinungen gewahrt bleiben würden und daß Aratos offenbar mit Kenntnis und mit Genauigkeit die Aufgangsverhältnisse des Gürtels des Perseus schildern dürfte.

Es scheint mir aber Aratos aus demselben Grunde 29 zum Zweifel veranlaßt worden zu sein, wie auch Eudoxos, welchem Aratos gefolgt ist. In der einen Abhandlung nämlich, in der über die Himmelserscheinungen, schreibt er, daß die rechte Seite des Perseus mit den Fischen aufgehe, sodaß, wenn der Anfang des Widders im östlichen Horizont steht, nach seiner Auffassung nur die rechts gelegenen Teile des Perseus über der Erde sichtbar sind. In der anderen Abhandlung, welche „Der Spiegel" betitelt ist, behauptet er dagegen, daß derselbe mit den Fischen ganz aufgehe bis auf einen kleinen Rest. Da 30 nun diese beiden Abhandlungen in fast allen Angaben über den Aufgang der Sternbilder miteinander übereinstimmen und nur hinsichtlich des Perseus die Aufzeichnung eine abweichende ist, so behauptet Aratos, weil er nicht wußte, welcher Angabe man folgen solle, mit gutem Grunde, daß es bestritten und zweifelhaft sei, ob auch der Gürtel des Perseus zusammen mit den Schultern und dem Kopfe beim Aufgange des Widders über der Erde

---

περσέως B edd. || 26. ποϊά τις A, ποίᾳ τίς B, ποίᾳ τὶς ed. pr.

ἢ τοῦ Ταύρου ἀναφερομένου, ὡς τὸ ἕτερον τῶν τοῦ
31 Εὐδόξου συνταγμάτων περιέχει. οὐ παρὰ τὸ τῇ αἰσθήσει
οὖν δύσκριτον εἶναι διὰ μικρότητα τῆς διαφορᾶς, ὡς
ὁ Ἄτταλος ὑπέλαβεν, ἀμφήριστόν φησιν εἶναι, πότερον
ἡ ζώνη τοῦ Περσέως ὑπὲρ γῆν ἤδη φαίνεται τῆς ἀρχῆς 5
τοῦ Κριοῦ πρὸς τῷ ὁρίζοντι οὔσης, ἢ ἀρχομένου ἤδη
ἀνατέλλειν τοῦ Ταύρου, τότε καὶ αὐτὴ ἀναφέρεται,
ἀλλὰ ⟨παρὰ⟩ τὸ μὴ ἔχειν εἰπεῖν διὰ τὸ ἑκατέρως παρα-
δεδόσθαι.

32 Διχῶς δὲ γραφομένου, ἐν μέν τισιν ἀντιγράφοις 10
„καὶ κ' ἀμφήριστα πέλοιτο“, ἐν δέ τισι „καὶ κ' ἀμφή-
ριστα πέλονται“, δεῖ γράφειν „πέλοιτο“, καὶ οὐχ, ὡς
ὁ Ἄτταλος, „πέλονται“. τῷ γὰρ ἂν συνδέσμῳ τὸ
„πέλοιτο“ καταλλήλως λέγεται. οὐδὲ γὰρ περισπᾶσθαι
δεῖ διὰ τὸ πληθυντικῶς ἐκφέρεσθαι τὸ „ἀμφήριστα“· 15
σύνηθες γάρ ἐστι τὸ σχῆμα τοῦτο τῆς ἐκφορᾶς.

33 Τῆς δὲ ἀρχῆς τοῦ Ταύρου ἀνατελλούσης φησὶν ὁ
Ἄρατός τε καὶ ὁ Εὔδοξος τὸν Περσέα ὅλον φαίνεσθαι
ὑπὲρ γῆν, καὶ τοῦ Ἡνιόχου τὴν ἀριστερὰν χεῖρα, ἐν
ᾗ οἱ Ἔριφοι κεῖνται, καὶ τὸν ἀριστερὸν πόδα, καὶ τοῦ 20
Κήτους τὸ ἀπὸ τῆς οὐρᾶς ἕως τῆς λοφίας. δεδυκέναι
δέ φησι τοῦ Βοώτου τι μέρος.

34 Ἀγνοοῦσιν οὖν τὰ ἀριστερὰ μόνον ὑπολαμβάνοντες
τοῦ Ἡνιόχου τῷ Κριῷ συνανατέλλειν· ὁ μὲν γὰρ δεξιὸς
ὦμος αὐτοῦ τῇ β' καὶ κ' μοίρᾳ τοῦ Κριοῦ συνανα- 25
φέρεται, ὁ δὲ βορειότερος τῶν ἐν τῇ κεφαλῇ ἔτι πρό-
τερον τοῖς Ἰχθύσι συνανατέλλει, ὥστε καὶ κατὰ τοῦτο
ἀγνοεῖν αὐτούς, λέγω δέ, καθ' ὅσον ὑπολαμβάνουσι
πρώτως τῷ Κριῷ τὸν Ἡνίοχον συναναφέρεσθαι.

---

8. παραδίδοσθαι Vat., παραδίδομαι P[1]P[2]. ‖ 11. καὶ κ' ἀμφήριστα πέλοιτο corr. *Scal.* et *Pet.*, καὶ καμφήστατο A, καὶ

sichtbar sei, oder erst beim Aufgange des Stiers, wie es in der anderen Abhandlung des Eudoxos heiſst. Also nicht 31 deswegen, weil es durch die Wahrnehmung schwer zu entscheiden sei bei der Geringfügigkeit des Unterschieds, wie Attalos annahm, behauptet er, daſs es zweifelhaft sei, ob der Gürtel des Perseus über der Erde bereits sichtbar ist, wenn der Anfang des Widders im Horizont steht, oder ob er erst dann, wenn bereits der Stier anfängt aufzugehen, gleichfalls emporsteigt, sondern nur deswegen, weil er es infolge der zwiefach überlieferten Darstellung nicht anzugeben vermochte.

Indem eine doppelte Schreibweise vorliegt, in einigen 32 Handschriften *καὶ κ' ἀμφήριστα πέλοιτο*, in anderen *καὶ κ' ἀμφήριστα πέλονται*, muſs man *πέλοιτο* schreiben, und nicht, wie Attalos, *πέλονται*. Denn der Partikel *ἄν* entsprechend muſs es *πέλοιτο* heiſsen. Man darf aber nämlich auch nicht *πέλονται* schreiben aus dem Grunde, weil *ἀμφήριστα* im Plural stehe; denn diese Form des Ausdrucks ist etwas ganz Gewöhnliches.

XI. Wenn der Anfang des Stiers aufgeht, behauptet 33 Aratos sowohl wie Eudoxos, daſs der Perseus ganz über der Erde sichtbar sei, vom Fuhrmann die linke Hand, in welcher die Zicklein liegen, und der linke Fuſs, vom Walfisch das Stück vom Schwanz bis zur Rückenflosse. Untergegangen sei, behauptet er, ein Teil des Bootes.

Im Irrtume sind sie, wenn sie annehmen, daſs nur die 34 linke Seite des Fuhrmanns mit dem Widder aufgehe; denn die rechte Schulter (β) desselben geht mit ♈ 22° auf, und der nördlichere (ξ) von den Sternen (δ ξ) im Kopfe geht noch früher, schon mit den Fischen auf, sodaſs sie auch hierin im Irrtume sind, ich meine insofern, als sie annehmen, daſs der Fuhrmann z u e r s t mit dem Widder auf-

---

καμφίστατο B edd. | *καὶ καμφήριστα* AB ed. pr. ‖ 13. *ἂν*] *ἄν* A, om. B edd. ‖ 14. *περισπᾶσθαι*] „*πέλονται*“ *γράφεσθαι* legendum esse videtur. ‖ 18. *ὁ* om. B edd. ‖ 26. *βορειότερος**] *νεώτερος* A, *νοτιώτερος* B edd. ‖ 27. *καὶ κατὰ τοῦτο**] *καὶ* om. Vat., *κατὰ* om. P¹P²B edd. ‖ 28. *αὐτοῖς* A. | *καθόσον* A.

35 ὁμοίως δὲ κατὰ δύο τρόπους καὶ τὰ περὶ τοῦ Κήτους ἠγνοήκασιν. οὔτε γὰρ τῷ Κριῷ ἄρχεται συνανατέλλειν, ὥς φασιν, ἀλλὰ τοῖς Ἰχθύσιν· οὔτε ἕως τῆς λοφίας μόνον ἀναφέρεται σὺν τῷ Κριῷ, ἀλλὰ ὅλον σχεδὸν πλὴν τῶν ἐν τῇ κεφαλῇ ὁ ἐν ἄκρῳ τῷ χελυνίῳ λαμπρός. 5
36 ὅτι γε μὴν οὐδὲ ὁ Βοώτης τῷ Κριῷ ἄρχεται ἀντικαταφέρεσθαι, ὥς φασιν, ἀλλὰ τῷ Ταύρῳ, προειρήκαμεν ἀνωτέρω.

37 Τῶν δὲ Διδύμων ἀρχομένων ἀνατέλλειν ὁ Ἄρατος δύνειν μέν φησι τοὺς πόδας τοῦ Ὀφιούχου „μέσφ' 10 αὐτῶν γονάτων", ἀνατέλλειν δὲ τὸ Κῆτος καὶ τοῦ Ποταμοῦ τὰ πρῶτα.

38 Ταῦτα δὲ συμφώνως τοῖς φαινομένοις ὑπ' αὐτῶν εἴρηται.

Pars posterior. 15

Cap. IV.

1 Ἃ μὲν οὖν ἐδόκει μοι χρήσιμα εἶναι τῶν ὑπὸ Ἀράτου καὶ Εὐδόξου λεγομένων ἐν τοῖς Φαινομένοις
2 ἐπισκέψασθαί τε καὶ ὑπογράψαι, ταῦτά ἐστιν. ἑξῆς δὲ ὑποτάξω περὶ ἑκάστου τῶν ἀπλανῶν ἄστρων ἐπὶ 20 κεφαλαίου, τίνι τε τῶν δώδεκα ζῳδίων συνανατέλλει καὶ συγκαταδύνει, καὶ ἀπὸ πόστης μοίρας τοῦ ζῳδίου ἀρξάμενον ἕως πόστης μοίρας ἔσχατον ἀνατέλλει ἢ [συγκατα]δύνει ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις καὶ

---

1. Κήτους] ἡνιόχου B edd. ‖ 4. ἀλλὰ ὅλος B, ἀλλ' ὅλος edd. ‖ 5. ὁ .... λαμπρός*] οἱ .... λαμπροί Vat. B edd., οἱ .... λαμπρός P¹P². | χελωνίῳ B edd. ‖ 6. οὐδὲ*] οὔτε vulg. | ἀντικαταφέρ.*] συναναφέρ. vulg. ‖ 10. μεχρὶ τῶν γον. B ed. pr., μέσφι αὐτῶν

gehe. — In ähnlicher Weise sind sie auch in doppelter 35 Beziehung hinsichtlich des Walfisches im Irrtume; er beginnt nämlich weder mit dem Widder aufzugehen, wie sie behaupten, sondern mit den Fischen, noch geht er nur bis zur Rückenflosse (*o*) mit dem Widder auf, sondern beinahe ganz mit Ausnahme des hellen (*α*) von denen im Kopfe, welcher am äufsersten Rande der Kinnlade steht. — Dafs endlich auch der Bootes nicht mit dem 36 Aufgange des Widders unterzugehen beginnt, sondern erst mit dem des Stiers, haben wir weiter oben besprochen.

XII. Wenn die Zwillinge anfangen aufzugehen, giebt 37 Aratos an, dafs untergehen die Beine des Schlangenträgers „bis zu den Knieen“ (V. 725), dafs dagegen aufgehen der Walfisch und die ersten Teile des Flusses.

Diese Angaben sind von ihnen in Übereinstimmung 38 mit den Erscheinungen gemacht.

Zweiter Hauptteil.

Auf- und Untergänge aller Sternbilder für die geographische Breite von 36^0.

Einleitung.

Was mir von den Angaben, welche Aratos und Eudoxos IV. 1 in den „Himmelserscheinungen“ machen, einer prüfenden Kritik zu unterziehen geboten erschien, ist das vorstehende. Im folgenden werde ich für jedes Sternbild in übersicht- 2 licher Weise darstellen, mit welchem der zwölf Zeichen gleichzeitig es aufgeht und untergeht, d. h. von welchem Grade des Zeichens an bis zu welchem als Endpunkt es aufgeht bez. untergeht in den Gegenden von Griechenland

---

γον. Ur. ‖ 17. *χρησίμων* A. ‖ 19. *ταῦτ' ἐστὶν* A. ‖ 20. *δ' ὑποτ*. A. | *ἀστέρων* A edd. ‖ 23. *ἀρξάμενος* Ur. | *μοίρας ἔσχ*.*] *τὸ* (ex *μ*^{0} ortum) *ἔσχ*. vulg.

καθόλου ὅπου ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν 3 *ιδʹ καὶ ἡμιωρίου. τὰς δὲ κατὰ μέρος αὐτῶν ἀποδείξεις ἐν ἄλλοις συντετάχαμεν οὕτως, ὥστε ἐν παντὶ τόπῳ σχεδὸν τῆς οἰκουμένης δύνασθαι παρακολουθεῖν ταῖς διαφοραῖς τῶν συνανατολῶν καὶ συγκαταδύσεων.* 5

4 *Πρῶτον μὲν οὖν ἐκθησόμεθα τὰς τῶν βορειοτέρων ἄστρων τοῦ ζῳδιακοῦ κύκλου συνανατολάς τε καὶ συγκαταδύσεις, ἔπειτα δὲ τὰς τῶν νοτιωτέρων, ἐπὶ πᾶσι δὲ τὰς τῶν δώδεκα ζῳδίων· λέγω δὲ τῶν ἠστερισμένων, ἐπειδήπερ ἃ μὲν μείζονα τόπον ἐπέχει τοῦ* 10 *δωδεκατημορίου, ἃ δὲ ἐλάσσονα. ἔτι δὲ καὶ πολλῷ τινὰ μὲν βορειότερα, τινὰ δὲ νοτιώτερα ὄντα τοῦ ζῳδιακοῦ πολὺ προτερεῖ καὶ ὑστερεῖ ἐν ταῖς ἀνατολαῖς καὶ δύσεσι τῶν κατʼ αὐτὰ δωδεκατημορίων.*

5 *Προσδιασαφήσομεν δὲ ἐφʼ ἑκάστου καὶ τό τε μεσου-* 15 *ρανοῦν ἐν τῷ ζῳδιακῷ κύκλῳ ζῴδιον καὶ τὴν μοῖραν αὐτοῦ, πρὸς δὲ τούτοις τοὺς μεσουρανοῦντας ἀπλανεῖς ἀστέρας ἐν ταῖς ἀρχαῖς καὶ τελευταῖς τῶν ἀνατολῶν καὶ δύσεων οἱουδήποτε ἄστρου, καὶ ἔτι ἐν πόσαις ὥραις ἰσημεριναῖς ἕκαστον τῶν ἄστρων ἢ δύνει ἢ* 20 6 *ἀνατέλλει. ἕκαστον δὲ τούτων διασαφήσομεν κατὰ συνεγγισμὸν ἕως ἀδιαφόρου παραλλαγῆς. διότι γὰρ ἡ τοιαύτη πραγματεία πολλῷ τε τῶν ὑπὸ τῶν ἀρχαίων συντεταγμένων ἐστὶν εὐχρηστοτέρα καὶ πρὸς πολλὰ συντείνει τῶν κατὰ ἀστρολογίαν θεωρημάτων, εὐκατα-* 25 *νόητον εἶναί σοι νομίζω.*

---

12. *τίνα μὲν — τίνα δὲ* A. ‖ 16. *τὴν μ⁰* B ed. pr. ‖ 19. *ποιουδήποτε* B (LV sine acc.), *οἷου δήποτε* edd. ‖ 23. *τῶν ὑπὸ*] *τῆς*

und überhaupt da, wo der längste Tag $14\frac{1}{2}$ Stunden lang ist. Die speziellen Beweise hierfür haben wir anderen [3] Ortes derartig zusammengestellt, dafs man fast für jeden Ort der bewohnten Erde die Unterschiede der gleichzeitigen Auf- und Untergänge verfolgen kann.[21])

[4] Zuerst werden wir die Auf- und Untergänge derjenigen Sternbilder darstellen, welche nördlich der Ekliptik liegen, sodann die der südlich derselben gelegenen, zuletzt die der zwölf Tierkreisbilder. Unter letzteren verstehe ich natürlich die Sternbilder, da ja bekanntlich einige einen gröfseren Raum einnehmen, als das Zeichen, andere einen kleineren. Ferner aber bewirkt auch der Umstand, dafs manche viel nördlicher, andere viel südlicher als die Ekliptik liegen, eine bedeutende Verfrühung bez. Verspätigung im Auf- und Untergange im Vergleich mit den betreffenden Zeichen.

[5] Wir werden ferner auch genau bei jedem einzelnen Sternbilde angeben:

1. das in der Ekliptik im Meridian stehende Zeichen bez. den Grad desselben;
